

1973
GOTTSCHER - L.

Concordia paruæ res crescunt.



Τῇ ὁμονοίᾳ τὰ μικρὰ αὐξάνονται.

144

μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμῖδος χαίτην
μὴ κορυφὴν πλέξῃς· μὴ θ' ἄμματα λοξὰ κορύμβων,
Ἄρσεσιν οὐκ ἐπέοικε κόμη χλιδαὶ δὲ γυναιξί.
παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι.
μὴ δέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσῃς.
Κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσι.
Συγγενέσι φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν.
Αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν·
Ἕδρης καὶ γεράων πάντων, γενεῇ δ' ἀτάλαντον.
Πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε,
γαστρὸς ὀφειλόμενον δεσμὸν παρέχου θεράπουσι,
Δούλῳ τακτὰ νέμοις. ἵνα τοι καταθύμιος εἴη.
Στίγματα μὴ γράψῃς ἐπονειδίζων θεράποντα.
Δοῦλον μὴ βλάψῃς τι κακηγορέων πρὸς ἄνακτα.
Λάμβανε καὶ βουλὴν παρ' οἰκέτου εὖ φρονέοντος.
Ἁγνεῖαι ψυχῆς σου, σώματός εἰσι καθαρμοί.
Ταῦτα δικαιοσύνης μυστήρια, οἷα βιοῦντες.
Ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ΤΕΛΟΣ



VENETIIS *ex officina Farrea.*

M D X L I I I.

μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μή δ' ἐπὶ παλλακίσι πατρὸς λεχέεσι μιγείης.
μὴ δὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός.
μὴ δὲ τεκοῦσα κυσὶ ῥίψῃ, καὶ γυψὶν ἕλωρα.
μὴ δέ τις ᾗ ἀλόχῳ ἐγκύμονι χεῖρα βαλήτω,
μὴ δ' ἐπὶ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον.
μὴ δ' ἀλόγοις ζώοις βατήρειον εἰς λέχος ἐλθεῖν.
μὴ δ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσι,
μὴ παραβῇς εὐνὰς φύσεως εἰς κύπριν ἄθεσμον.
Οὐδ' αὐτοῖς θήρεσσ' ἄρσην συνέβαδεν ἐς εὐνήν.
μὴ δέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μὴ δ' ἐς ἔρωτα γυναικῶν ἅπας ῥεύσῃς ἀκάθεκτον.
Οὐ γὰρ ἔρως θεός ἐστι. πάθος δ' ἀΐδηλον ἁπάντων,
μὴ δὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
Στέργε τὴν ἄλοχον. τί γὰρ ἥδιον καὶ ἄρειον,
Η ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι,
καὶ πόσις ᾗ ἀλόχῳ μὴ δ' ἐμπέσῃ ἄνδιχα νεῖκος.
μὴ δέ τις ἀμνήστευτα βίῃ κούρῃ μιγείη.
μὴ δὲ γυναῖκα κακὴν σοῖσιν οἴκοισιν ἄγεσθαι.
Λαβρεύσας δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς,
Ἵπποις δ' εὐγενέας δίζεσθαι μὲν κατὰ οἶκον
Ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρίους
Γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες,
Οὐ δὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα
μὴ δὲ γάμῳ γάμον ἄλλον ἄγῃς ἐπὶ πήματι πῆμα.
Παισὶ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι.
Ἢν δέ τι παῖς ἀλίτῃ, κωλυέτω ἥγε μήτηρ,
Η καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.

143

Νηπιάχοις ἁπαλοῖς μὴ μάρψῃς χεῖρα βιαίως·
Φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος
μὴ κακὸν εὖ ἔρξῃς, σπείρειν ἴσον ἐς' ἐνὶ πόντῳ
Εργάζευ μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύσῃς·
Πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλωπήμων ἀπὸ χειρῶν.
μὴ δ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης
Αλλ' ἀπὸ τῶν οἰκείων βιότων φάγοις ἀνύβριστος.
Εἰ δέ τις οὐ δεδάηκε τέχνην σκάπτοιτο δικέλλῃ.
Εστὶ βίῳ πᾶν ἔργον ἐπὴν μοχθεῖν ἐθέλησθα·
Ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα.
Εἰ δὲ γεωπονίην μεθέπειν· μακραί τοι ἄρουραι,
Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον
Οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει
Μύρμηκες γαίης μυχάτοις προλελοιπότες οἴκους
Ερχονται, βιότοιο κεχρημένοι ὁππότ' ἄρουραι.
Λήϊα κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς,
Οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν.
Η κριθῶν, αἰεὶ δὲ φέρων φορέοντα διώκει,
Εκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες.
ἄτρυτον, φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
Κάμνει δ' ἠεροφοῖτις, ἀριστοπόνος τε μέλισσα.
Ηὲ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
Η δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σμβλῶν
Σμήνεσι μυριότητα κατ' ἄνθεα κηροδομοῦσα.
μὴ μείνης ἄγαμος, μήπως νώνυμος ὄληαι.
Δός τι φύσει καὐτὸς· τέκε δ' ἔμπαλιν ὡς ἐλοχεύθης.
μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων.
Οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα,
μητρυιῆς μὴ ψαύεγε δεύτερα τέκνα γονῆος.

μήτε κακοῖς ἄχθου· μήτ' οὖν ἐπαγάλλεο χάρμῃ
πολλάκις ἐν βιότῳ καὶ θαρραλέοισιν ἄπιστον.
Καιρῷ λατρεύειν μὴ δ' ἀντιπνέειν ἀνέμοισι.
πῆμα καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
μὴ μεγαληγορίῃ φυσῶν, φρένα λυσσωθείης,
εὖ ἐπέων ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει.
Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου,
Ὅπλον ἑκάστῳ νεῖμε θεὸς, φύσιν ἠεροφοίτου
Ὄρνισι μὲν πολλὴν ταχυτῆτ', ἀλκήν τε λέουσι,
Ταύροις δ' αὐτοχύτοις κεράεσσι. κέντρα μελίσσαις
Ἔμφυτον ἄλκαρ ἔδωκε, λόγος δ' ἔρυμ' ἀνθρώποισι,
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
Ἀγροὺς καὶ πόλιας σοφία, καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν τὸν ἀθάσθαλον ἄνδρα ἄπιστον,
Ἀλλὰ χρὴ κακοεργὸν ἀποτρωπᾶσθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες
Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην.
Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας
μοῖραν πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃς.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
Κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ, καθ' ὁδὸν, συνέγειρον.
Πλαζόμενόν τε βροτὸν καὶ ἀλίτροπον μήδ' ὑπαλύξῃς
Βέλτερον ἀντ' ἐχθροῦ τυχέειν φίλου εὐμενέοντος.
Ἀρχόμενον τὸ κακὸν κόπτειν ἕλκος τ' ἀκέσασθαι
μὴ δέ τι θηροβόρον δαίσῃ κρέας, ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσὶ, θηρῶν ἄπο θῆρες ἔδονται.
Φάρμακα μὴ τεύχειν μαγικῶν βίβλων ἀπέχεσθαι.

μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
τὴν σοφίην σοφὸς ἰθύνει. τέχνας δ' ὁμότεχνος.
Οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούει.
Οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
πολλοὶ γὰρ πόσιος καὶ βρώσιος ἐστὶν ἑταῖροι.
Καιρὸν θωπεύοντες ἐπὴν κορέσασθαι ἔχωσιν.
Αχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.
Λαὸς καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ,
μέτρα δὲ τεῦχε θεοῖσι. τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχεύτοις νεκύεσσι.
μὴ τύμβον φθιμένων ἀνορύξῃς μηδ' ἀθέατα
Δείξῃς ἠελίῳ καὶ δαιμόνιον χόλον ὄρσῃς.
Οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο.
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν.
Λείψαν' ἀποιχομένων, ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.
Πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.
Σῶμα γὰρ ἐκ γαίης ἔχομεν, καὶ πάντα πρὸς αὐτὴν
Λυόμενοι κόνις ἐσμέν, ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου. μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
Οὐκ ἔν' ἐς ᾅδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
Πάντες ἴσοι νέκυες. ψυχῶν δὲ θεὸς βασιλεύει.
Κοινὰ μέλαθρα δόμων αἰώνια καὶ πατρὶς, ᾅδης.
Ξυνὸς χῶρος ἅπασι πένησί τε καὶ βασιλεῦσιν.
Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν.
ψυχὴ δ' ἀθάνατος, καὶ ἀγήρως, ζῇ διὰ παντός.

Πολλάκι γὰρ πλήξας, ἀέκων φόνον ἐξετέλεσσας.
Ἔστω κοινὰ πάθη. μηδὲν μέγα, μηδ' ὑπέροπλον.
Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ
Ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας,
Ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει,
Ὀργὴ δ' ἐστὶν ὄρεξις. ὑπερβαίνουσα δὲ μῆνις.
Ζῆλος τῶν ἀγαθῶν ἐσθλός, φαύλων δ' ὑπεργός.
τόλμα κακῶν ὀλοὴ μέγ' ὀφέλλει δ' ἐσθλὰ πονοῦντας
σεμνὸς ἔρως ἀρετῆς. ὁ δὲ κύπριδος αἶσχος ὀφέλλει,
Ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
Μέτρῳ μὲν φαγέειν, καὶ πιεῖν καὶ μυθολογεύειν.
Πάντων μέτρον ἄριστον. ὑπερβασίη δ' ἀλεγεινή,
Μὴ φθονέοις ἀγαθῶν ἑτάροις μὴ μῶμον ἀνάψῃς.
ἄφθονοι οὐρανίδαι. καὶ ἐν ἀλλήλοις τελέθουσιν,
Οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς,
Οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα,
Οὐ ποταμοὶ πελάγεσσιν, ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
Εἰ γὰρ ἔρις μακάρεσσιν ἔην οὐκ ἂν πόλος ἔστη.
Σωφροσύνην δ' ἀσκεῖν. αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι,
Μὴ μιμοῦ κακότητα δίκῃ δ' ἀπόλειψον ἄμυναν.
Πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει,
Νικᾶν εὖ ἕρδοντας ἐπεὶ πλεόνεσσι καθήκει,
Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις
Ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι,
Μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω.
Μητέρα δ' ἐκπρολίπῃς, ἵν' ἔχῃς πάλι τῆσδε νεοττοὺς

Χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὄλβος.
πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
Ων σοι ἔδωκε θεὸς τούτων χρήζουσι παράσχου.
Εστω κοινὸς ἅπας ὁ βίος καὶ ὁμόφρονα πάντα.
τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν.
Εἴθε δὲ μὴ χρήζοις, μήτ' ἔννομα, μήτε ἀδίκως.
Ην γὰρ ἀποκτείνῃς ἐχθρὸν, σέο χεῖρα μιαίνεις,
ἀγροῦ γειτονέοντος ἀπόσχεο μὴ δ' ἄρ' ὑπερβῇς.
Πάντων μέτρον ἄριστον. ὑπερβασίαι δ' ἀλεγειναὶ,
Μὴ δέ τιν' αὐξόμενον καρπὸν λώβησον ἀρούρης.
Εστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις.
Πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου.
Χώρη δ' οὔτι βέβαιον ἔχει πέδον ἀνθρώποισιν,
Η φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ, καὶ ἄργυρος, ἀνθρώποισι.
χρυσὲ κακῶν ἀρχηγὲ βιοφθόρε πάντα χαλέπτων.
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
Σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
Εχθρὰ δὲ τέκνα γονεῦσιν. ἀδελφειοί τε συναίμοις,
Μὴ δ' ἕτερον κεύθῃς κραδίῃ νόον, ἄλλ' ἀγορεύων,
Μὴ δ' ὡς πετροφυὴς πολύποις κατὰ χῶραν ἀμείβου.
Ος τις ἑκὼν ἀδικεῖ. κακὸς ἀνὴρ, ἀλλ' ὑπ' ἀνάγκης
Οὐκ ἐρέω τὸ τέλος, βουλὴν δ' εὔθυνε ἑκάστου.
Μὴ γαυροῦ σοφίῃ. μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ,
εἷς θεός ἐστι σοφὸς. δυνατὸς, ἅμα καὶ πολύολβος.
μὴ δὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ.
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν.

ΦΩΚΥΛΙΔΟΥ ΡΟΙΗΜΑ ΝΟΥΘΕΤΙΚΟΝ.

Ητε γαμοκλοπέειν, μήτ' ἄρσενα κύ-
πριν ὀρίνειν,
μ Μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα
μιαίνειν,
Μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιο-
τεύειν.
Αρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Ρρῶτα θεὸν τίμα. μετέπειτα δὲ σεῖο γονῆας.
Ρᾶσι δίκαια νέμειν, μὴ δὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψῃς πενίην, ἀδίκως μὴ κρῖνε πρόσωπον.
Ην σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν. τὰ δίκαι' ἀγορεύειν,
παρθενίην τηρεῖν, πίστιν δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπὶ μέτρον ἅπασι,
Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν,
μήτ' ἐπιορκήσῃς, μήτ' ἀγνῶς, μήτε ἑκοντί,
ψεύδορκον στυγέει θεὸς ἄμβροτος, ὅς τις ὀμόσσῃ.
Σπέρματα μὴ κλέπτειν, ἐπαράσιμος ὅς τις ἀμεῖται.
μισθὸν μοχθήσαντι δίδου. μὴ θλῖβε πένητα.
γλώσσαν σοῦ ἐχέμεν, κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς,
πτωχῷ δ' εὐθὺ δίδου, μὴ δ' αὔριον ἐλθέμεν εἴπῃς.
πληρώσας σέο χεῖρ' ἔλεον χρήζοντι παράσχου.
Αστεγον ἐς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Ναυηγοὺς οἴκτειρον ἐπεὶ πλόος ἐστὶν ἄδηλος,

νεβρίτης, ἔρδειν δ' ἀλόχῳ πόσιν ἱμερόεντα
ἔνθεν καὶ κατένωπα κελαινῆς ἀσπίδος ἔγνων
καρτερὰ φάρμακα σεῖο βροτοσσόε θέσκελα πέτρη
τῆς ὄνομα χροιῇ τε πέλει χλοεροῖο πρασίοιο.

ΧΑΒΑΖΙΟΣ.

ἐ Νθεν καὶ σέο δῖε χαβάζιε πειρηθῆναι
ἐν θυμῷ βαλόμην, καὶ σεῦ μένος εὗρον
ἄριστον.
ἄμφω γὰρ, καὶ νοῦσον ἀναψύχεις πυρόεσσαν
Καί μοι σκορπιόθεν βεβολημένῳ ἦρα κομίζεις
λητοΐδη, σέο μέχρις ἐμοῦ πιαύπιος ἥρως
ἐασύμενος τάδε πάντα ἀμήχανα φησὶ πιφάσκειν
ἄλλο κασιγνήτην κεχολωμένος ἀργυρότοξος
κασσάνδρην ἐκέλευσεν ἀκηδυόντεσσιν ἅπαντα
θεσπίζειν τρώεσσι ἐτήτυμα περ φρονέουσαν.
ἀλλ' ἄρ' ἐγὼ καὶ πρόσθεν ἀπώμοσα καρτερὸν ὅρκον
ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι.
καὶ νῦν ἀτρεκέως μάλα τοι λέξαντος ἕκαστα
ἡμετέροις ἥρως ἑκατηβόλε πείθεο μύθοις,
Ὣς ἄρ' ἔφη πριάμοιο διοτρεφέος φίλος υἱὸς
ἀτρέστου θεράποντι φέρων χάριν ἡρακλῆος.
τοῖ δὲ ποιήεσσαν ἐς ἀκρώρειαν ἰοῦσι
τρηχεῖαν μάλα μῦθοι ἀταρπιτὸν ἐπρήϋναν.

ΤΕΛΟΣ.

Μυστικὸν ἀείδησιν ἐπώνυμον οὐρανιώνων.
ἀρᾶσθαι δὲ μέγαιραν ἀπὸ πρόθι παφλάζοντος
Σβέμεναι τρίποδος κακομήχανον, ἐς δ' ἄρα τοί γε
Γνῶμα διιπετὲς εὗδον ἄγει ἱερὰς ἐπὶ μοίρας
Ὁππότε δ' ἑψομένοισιν ἐπὶ κρεάτεσσιν ἵκωνται
Δαίνυσθαι τότ' ἔπειτα κορεννύσθαι μεμαῶτας
ἄλλοθεν ἐκ τρίποδος, τὰ δὲ λείψανα γαῖα καλύπτοι
Καὶ σφιν ἐπιπεῖσαι λευκὸν γάλα, καὶ μέθυ ἡδὺ
καὶ λίπα τ' ἐρατὸν αὖτε μελίσσης αὔθιμον εἶδαρ.
καὶ στέψαι πλέξαντας ἀκρόδρυα καρποφόροιο
παρθενικῆς ἀφελόντας ἐλαίης, μὴ δὲ κορέσσης
Σφωιτέροις πέπλοις ἐλέειν οἴκονδε κιόντας
μηδὲ μεταστρωφᾶσθαι, ἐπεὶ κ' ἀπὸ νόσφι τράπησθε,
Ἀλλ' αἰεὶ προτέρω ἐς ἀτραπὸν ὥστε φέροντες
ἔρχεσθ' ἐς μέγαρον, μὴ δὲ προτιμυθήσασθαι,
ἤ καί τις ξύμβληται ὁδίτης, ἔστ' ἂν ἵκεσθαι
Ες δόμον. ἔνθα δ' ἔπειτα θυηλὰς ἀθανάτοισιν
ὀξῦπις ῥέζοντας ἀρώματα ποικίλα καίειν.
ταῦτ' ἐγὼ ἐκτελέσας ὅσα τ' ἔσεται ὅσα τε κοῦφοι
Ορνίθων κλάζουσιν ἐπίσταμαι· ὅσα τε θηρῶν
Ωμησταί τε τράπεζοι ἐνὶ σφίσιν ὠρύονται.

ΝΕΥΡΙΤΙΣ.

Νθεν ἐγὼν ἐδάην καὶ βακχίδα νευρίταο
ε Δῶρα λίθου βρομίῳ κεχαρισμένα, τόν περ
ἔχοντες
Ανθρωποι θύοιτε, καὶ ἀράων ἀΐουσιν
Οὐρανίδαι γυμνῷ δὲ ῥάχιν περὶ πευκεδανοῖο
ἄκεντες θλίψας ὄφιος διὰ σάρκας ἀκαίθη
δηιώσοι, σφετέρας ὀδυνήφατος ἔσεται αὐτῷ

ἀ δὲ ἄγε δέχνυσο μῦθον, ἐγὼ δ' ἐσθλὴν τά κε λέξω.
πρῶτα μὲν οὖν ἀπολίσβοντας ἀναιμάκτων ἐπὶ βωμῶν
οὐ γὰρ ἄγειν θέμις ἐστὶ θυηλὴν ἐμψύχοιο
Ἡλιον εὐρύοπα κληΐζειν ὑμνοῦσιν ἄνωγα,
καὶ χθόνα πείραν πάντων τροφὸν ἀθανάτοισιν.
Δεύτερον αὖτ' αἴθωνος ὑπὲρ λίθον ἡφαίστοιο
τήκειν, ἡ δείη ταναοὺς θέλγον δράκοντας
Οδμῇ, τὴν ἄρα κεῖναι ἀνερχομένην ἐσορῶντες
ἀπερχόμενοι ποτὶ βωμὸν ἀολλέες ἐκ προμολόντες
χηραμόθεν ὁρόωνται ἐφερπύζοντες ἀϋτμὴν,
αὐτὰρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι
Εσσάμενοι τρεῖς, ὀξὺ φέρων ἀμφηκὲς ἕκαστος
Αορ, ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
Κινίασης ἱμείρων πυρὸς ἐγγύθι δινεύεσκε.
τοῦ δὲ διαμελειστὶ δαΐζειν ἐννέα μοίρας.
τρεῖς μὲν ἐπὶ κικλήσκειν πανδερκέος ἠελίοιο,
τρεῖς δ' ἑτέρας γαίης ἑκηβόλου λαοβοτείρης
τρεῖς δὲ θεοπροπίης πολυίθμονος ἀψαύστοιο.
τὰς δὲ λέβης κεράμοιο τετυγμένος αἱματόεσσας
δεξάσθω, καὶ δῶρον ἐλαίνον ἀφυτώνης,
Ηδὲ μέθυ βρομίοιο καλεασιχόρου καταχεύειν,
Εν δ' ἅλας ἀργεννοὺς βαλέειν θεράποντας ἐδωδῆς,
ἐν δὲ σφι καὶ δριμμὺ ἐπήλυδε κνῆκον ἄνωγα
μίξαι χρυσοχίτωνα, μελαγχροίην, ἐρίτιμον,
Εν δὲ καὶ ὅσσα περ ἄλλα μετ' ἀλλήλοισι μιγέντα
Ιμερον ἐπέμπουσιν ἐδητύος ἀνθρώποισι.
Οφρ', ἢ δ' ἐπὶ τρίποδος σφέα γαστέρι δέμνατ' ἐόντα
τόφρα δὲ κικλήσκειν μακάρων ἄρρηκτον ἕκαστον
Οὔνομα, τέρπονται γὰρ ἐπήν κε τις ἐκτελετῆσι

Εχῶει σφετέρῳ γλυκερῷ μέλιτι δὲ διαίας
Εκ βλεφάρων ἀπὸ πᾶσαν ἄγει νόσον, ἀχαλάα γὰρ
ἔργεσθαι θνητοῖς ὁράαν ἐρατεινὰ πρόσωπα
πρεσβυτάτου μακάρων στροβιλοβλεφάρου βασιλῆος
καὶ γλώσσῃ πῆσιν ὁμιλήσας κυλίκεσσιν
ἀνδρός τ' αἰδοίων ἄχος ἔσσεται, ὅς κε πίνῃσι
Καί μιν ἐγὼν αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον
Εντεσι δηειωθῶσι ἀμύμονος ἀμφ' ἀχιλῆος
Εσσυμένῳ νίκης ἐπ' ἀρηγόνα χερσὶ κομίζειν.
Καί κεν ὀδυσσῆος ταλασίφρονος αἴτιον αὐτῷ
Κῦδος ἀθλοσύνη περσέπτολις ἐγγυάλιξεν.
ἀλλ' οὔ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι,
τοὔνεκα θεσπέσιόν μοι ἀπέειξεν ὄνειαρ
Λάζετο δ' οὐλοὸν ἄορ, ἀτὰρ σύγε τοῖο μετ' αἶσαν
ἄζετο, πρὸς δὲ μέλαιναν ὀλισθηρῆο γενέθλην
Ερπετοῦ αἱματόεντα δαεὶς λίθον αἰὲν ἑταίρους
πινέμεναι νύμφαις ἐνὶ νηιάδεσσι κέλευε.
καὶ μὲν, ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα δόλωνα
αὐτοκασιγνήτῳ μεμαὼς φίλον ἕκτορι θεῖναι
πρόφρων ὤπασα λᾶαν ὀλύμπιον αἰτήσαντι.
αὐτὰρ ὅγ' ὀξαπίνης φάων προπάροιθεν ἁπάντων.
ἕκτορι, πατρί τ' ἐμῷ κεχαρισμένος ἔπλεθ' ἑταῖρος,
τοῖο δ' ἕκητί μ' ἐκεῖνος ἀμοιβαδὸν ἀρέσασθαι
Ιέμενος, λιπαραῖον ἐπίκλησιν παρὰ πατρὸς
Ωπασεν ἀφνειοῖο λαβὼν λίθον, ὅν ποτ' ἄρ' αὐτὸς
Ελθὼν ἰλιόθεν κρατερὸν μετὰ μέμνονα κῆρυξ
Σῆμα τ' ἐμεῖο παρόντος αἴδυρῶν ἀσυρίηθεν
χρυσοῦ τιμήεντος ἀρείονα δεῦρο κόμισσε,
μυρία κεῖθι μάγοισι πορὼν πολυίδμοσι δῶρα,

ΕΤΙ ΠΕΡΙ ΑΥΤΟΥ.

Μεῖν τοι καὶ τὸν δ' ἔγε ἑρπετὰ φημὶ διώκε-
ὃ σθαι.
ἀλλ' ἕτερον δώσω χατέοντι τοι ἰητῆρα
οὐρανόθεν γεγαῶτα, σὺ δ' ἐν φρεσὶ βάλλεο σῇσι.
εὖτε γὰρ αἰπλῆεν σφέτερον δέμας εὐρύστερνος
οὐρανὸς ὠμηστῆρος ὑπαὶ παλάμῃσι κρόνοιο
δηωθεὶς ἔλυξεν ἀπειρεσίην ἐπὶ γαῖαν
αἰθέρος ἐκ δίνης πεσέειν οὔδας δεμενοίων
Ὄφρα κε πάντ' ἀΐδηλα πολύσχιον ἀμφιπετάσσας
Νῶτον ἐὸν τεύξει, μίην δ' οὐρανοῦ ἀστερόεντος
Θυμὸν ἀνιήσας κρόνος οὐρανὸν ὅστι ναίει.
δὴ τότ' ἀμβροσίοιο κατειβόμεναι φορέοντο,
αἵματος ἐκ τειλῆθεν ἐπὶ ψαφαρὴν ῥαθάμιγγες
πᾶσαι οὐ μόρσιμον ἧκεν ἀπ' ἀθανάτοιο κύσσας·
σώματος ὄλλυσθαι μενέμεν δ' ἐριβώλακι μοῖραι
ἐν γαίῃ προγόνοιο θεῶν σόον αἷμα κέλοντο
μενέμεν οἷον αὖον δὲ περίπλωοι θέσαν ἵπποι
Ἠελίου, καλέσιν τις ἐπιψαύων ἐρίσειε
Λᾶαν ἔχειν ἐνὶ χερσὶν, ἔχει δέ μιν αἷμα πεπηγός.
ἐν γὰρ δὴ χροιὰς αὐτὸς ἐτήτυμος αἵματος ἐστὶν
Ἐν δὲ καὶ ὕδατι ῥεῖα διαμαδθεὶς ἀφεκὲς αἷμα
γίνεται, αἱματόεις δὲ καὶ οὔνομα λᾶας ἐπ' ἀνδρῶν
Ἐκ προτέρων κέκληται, ἀκήρατα δ' ὡς ἐπέοικε
φάρμακ' ἔχοι, νημερτὲς ἀπόρροιαί κεν ἀοιδοὶ
οὐρανίην, καλέουσιν ἐς ἀνθρώποις ἀφικέσθαι.
οὐ γὰρ ὅγ' οὔτε νέην ἐθέλει θνητοῖσιν ὀΐζυν
Ἔρχεσθαι προτὶ ὄσσε παλαιοτέρην τ' ἀπερύκει
μιγνύμενος λευκοῖο μετὰ γλάκεος, κεράσας τε

Ἔνδ' ὅγε μιλτοπάρηος, ἀτὰρ καὶ χαλκὸν ἐν αὐτῷ
δήεις· καὶ χροιὴν ἐαροτρεφέος μήλοιο.
Ἀλλ' οἷος πάντων προφερέστατος, ἅκέ μιν εὕροις
εἶδος ἔχοντα δαφοινὸν ἀμαιμακέτοιο λέοντος,
τῷ καί μιν προτέροισι λεοντοδέρην ὀνόμηναν
Ἥνδανεν ἢ μηθέοισι κατάστικτος ϖιλάδεσσι
πυρσαῖσιν, λευκαῖς τε, μελαινομέναις, χλοεραῖς τε,
τὸν δ' ἀσκορπίην ὀλοφυρόμενός τις ἀκωκὴν
Ἔλθοι ἀερτάζειν περὶ ἕλκει κέκλεο λυγρῷ
Ἤ μιν ὦδι πάσσειν· ἀπὸ γὰρ μινύθουσιν ἀνῖαι
Ἱμερτόν τε γυναιξὶ δυνήσεται ἀνέρα θεῖναι,
καὶ θέλξεις μύθοισι βροτούς, καὶ πάντα κομίζων
Ἄσσα κεν αἰτήσειας ἀφίξεαι οἴκαδε χαίρων.
καὶ νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστίν.
Ὅς μιν ἐνὶ σφετέρῃσι λαβὼν χείρεσσι κατάσχοι
Δίζεσθαι, οὔτοι τόν γε βιωσέμεν ἀρνήσοιτο,
Ἀλλὰ νοεῖς σὺ τῇσιν ἐνὶ φρεσὶν οὕνεκεν αὐτοῦ.
Ῥῆξε λίνον Κλωθώ, τοῦ δ' ἔρχεται ὕστατον ἦμαρ.

ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΑΧΑΤΟΥ.

Δὲ πυριφλεγεθέων ἑπτήμερος ἄνδρα
ὐ θαμίζων,
Ἢ κρυερὸς μαρπτῶν πυρετὸς παρ' ἄδην θαάνσι
Ἠὲ τεταρταίης πῆμα βραδὺ μήποτε λήγειν
Βουλομένης, ἀλλὰ ἐν ὅπῃ πελάσῃσι μενούσης,
τὸν σύγ' ἰήσασθαι δ' ἀμύμονος αὐτίχ' ἀχάτου.
Οὔτις γὰρ προτέρων πολὺ φέρτερος, αἶψα δὲ πῆμα
ἐξερέω. τόπερ ὧ καὶ βίην δείκνυσι λίθοιο.
Ἐν γάρ μιν κρεάεσσι βαλὼν μέσῳ ἑψομένοισι
τυτθὸν ἀναχέασθαι, τὰ δὲ τήκεται ἔνδοθι πάντα.

σχέτλιοι ἀλλήλοισιν μεγαίροντες πλέθουσι
πάντων αὐτίλυτον δηίοις κρατερώτατον εἶναι.
κόψας δὲ σπεῖρον ξανθῇ δημήτερι μίσγων
Καί τοι λοιγὸν ἅπαντα τεῆς ἀπάνερθεν ἀρούρης,
αὐχμούς τ' ὀξελάσει, σταχύων ἄλγος ἐκπίνοντας.
αἰθρίῳ τε χάλαζαν ἀπειρεσίοισι βελέμνοις
ἀγρῷ φαῦμα φέρουσαν ἀμήχανον ἐξακέσασθαι.
βρωτήρων τ' ὠδὶ τοῖσι γένος πάντων ἀλαπάζει.
φύλλας τε, κάμπας τε καὶ ἐθρίλην ἐρυσίβην.
Ἥτε κατ' οὐρανόθεν πταμένη ποτὶ καρπὸν ἐρυθρὴ
ἀμφὶ τοῖς σταχύεσσι πελισώχουσα κάθηται.
Ἐκ τεμνῶν ἀγέλας, ἐκ τ' ἀκρίδος ἄπλετον ἔθνος
Ῥαίσει, καὶ κρονίδαο περαιοῦσι κεραυνοί.
παιδὸς ἑοῦ κλέος οὔτοι ἐπέσιον ἀζομένοιο.
κεῖνο πολὺ πρώτιστον ἀνερχομένοις· περάτηθεν
Κουράλιον θνητοῖσι φέρων πόρεν ἀργειφόντης
Τῷ νῦν δ' ἀκρήτοιο μετ' οἴνου πινέμεν αἰεὶ
μέμνεο· πυκνὸν δαινῦ σύνεχε' ἀσπίδος ὥσπερ ἔειπον.

ΑΧΑΤΗΣ.

Αἰ πολυειδέα πῖνε μετ' ἀκρήτοιο
βρόμοιο
μορφὴν παντοίην ὠδισμένον ἐσ-
θλὸν ἀχάτην.
πολλὰ μὲν οὖν ῥέα γ' ἐστὶν ἀχάτου
χρώματ' ἰδέσθαι.
ἐν γὰρ οἱ δήεις ὁρόων ὑάλωπιν ἴασπιν
σάρδιά θ' αἱματόεντα, καὶ αἰγλήεντα μάραγδον.

Ἐν δ' ὄγε

σπαίρων ἔν τ' ὀλοοῖο πόνου δολιχῆς τε κελεύθου,
Τόφρα δὲ πορφυρέοιο διαινόμενοι κορέσαντο
αἵματος, οἳ ῥα κέχυντο χαμαὶ ὑπὸ κρατί θάμνοι.
ἀμφὶ δ' ἄρα σφιν αἶψα θοαῖ πόντοιο θύγατρες
Λύθρον ἐπεσσύμεναι θάμνοις περιπήγνυον ὧραι.
πήγνυον δ' ὥς τε σε παγχυλίθον στερεὴν ὀΐσασθαι.
οὐδ' ἔτ' ἔην ὀΐσασθαι, ἐπεὶ στερεὴ λίθος ἦεν.
Ἐκ δ' ὄλεσεν βοτάνης ὑγρὸν δέμας, ἀλλὰ καὶ ἔμπης
Οὐλομένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
τὴν μὲν ἄρα χροιὴν ἐξ αἵματος ἔσχεν ἐρυθρὴν
ἀμφασίη δ' ἥρωα λάβε θρασὺν, ὡς ἐνόησε
ἐξαπίνης μέγα θαῦμα, τὸ καὶ πέλας αἶψα κιῦσε.
διογενὴς πολύμητις ἐθαύμασεν ὀβριμοπάτρη.
Θῆκε δ' ἀδελφοῖο κλέος ἄφθιτον, ὥς κε πέλοιτο
αἰεὶ κουραλίου προτέρην φύσιν ἀλλάσσεσθαι.
ἐν δὲ βίην οἱ δῶκεν ἀπειρεσίην ἀγελλὴ
φῦλλα φυλασσέμεναι κρυερὴν ἐς φύσιν ἰόντα.
ἣν δολιχὴν ἕρπων ἐς ἀταρπιτὸν εἴ μιν ἔχοιτις,
Ἢ περάαν ἅλα δῖαν ἐϋσσέλμῳ ἐνὶ νηὶ
καὶ γὰρ ἐνυαλίοιο θοὸν δόρυ μαινομένοιο
καὶ χόλον ἀνδροφόνον φεύγειν ἀπὸ ληιστήρων,
καὶ πολιὸν νηρῆα κυκώμενον ἐξυπαλύξαι
Ἐσθλὴ κουραλίοιο βίη θνητοῖσιν ὀπάσσαι.
γλαυκὼ δ' ἐγρεκύδοιμον ἀτέρβεα τριτογένειαν
Σφωιτέρων καμάτων ἐπαμύντορα κικλήσκουσιν.
φάρμακα δ' ὅσσα πέλονται ἀτάσθαλα, καὶ καταδέσ-
ἄρκια τ' ἀγνάμπτοισιν ἐρινύσι πάγχυ μέλγουσαι (μοι
εἴτε μίσος κεύθων οἰκοφθόρον οὐκ ἐνόησεν
ἀνὴρ, εἴθ' ὅσα λύματ' ἐπὶ σφίσιν, ἠδ' ἐπαοιδὰς

Βόσκεται, ἐγὼ δ᾽ οὐκ οἶδ᾽ ὅτι μοι θέλγητρον ἰδόντι
αἰὲν ἐπὶ πραπίδας καταλείβεται, οὐδὲ δύνανται
Ὄσσαι κορεσθῆναι θηουμένου, ἀλλά με θάμβος
Σβύνηται στέρνοισιν ὀιομένῳ τέρας εἶναι.
καὶ οἱ πειθομένων περ ἔολπέ μεν εἶναι ἄπιστον,
ἀλλά τε γοργείην μὲν ἐτώσιον ἀνθρώποισι
Σμερδαλέην κεφαλὴν φάτις ἔμμεναι. οὐδ᾽ ἄρα περ
Ὠκυπέτης πέλεται, φθονερὸς τέρας ἣ γνώσασθαι, (σβὺς
γοργόνα γὰρ περσηΐδα δρακοντοέθειραν ἀκούεις
ἄτλαντος νεάτοισιν ὑπὸ κρημνοῖσι δαμῆναι
παρθένον ἀργαλέην ἐρεβωπίδα κῆρα μέλαιναν
ἀνθρώπων, οἵ μιν κεν ἐπ᾽ ἀνδροφόνῳ βάλλεν ὄσσε.
οἳ μὲν δεῖμα πέλωρον ἀνάσχετον ἀθρήσαντες
αἴση λαΐνοι τεθνειότες ἑστήκασιν.
τὴν δ᾽ οὔτ᾽ εὐρύστερνος ἐναντίον ἀφρυτώνη
Δέρκεσθαι μενέαινεν ἀδείμαντός περ ἐοῦσα
Χρυσαόρῳ περσῆι φονευομένην περ ἰδέσθαι,
οὔτε κασιγνήτῳ κέκλετο κρατερόφρονι φωτί.
ἀλλὰ δόλῳ θήρειον, ἀφάρπασεν αὐχένα κούρης
Ὦκα μάλ᾽ ἐξόπιθε γαμψώνυχον οὐ περὶ δούσης
ἀμφιβαλὼν ἅρπην κυλλωνίδα λευκανίῃσι.
τῆς δ᾽ ἄρα καὶ φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπὴ
καὶ συγερῦ κρονίδαο μολεῖν ὑπὸ δώματα κελαινὸν
πολλοῖς αἴτιμον ἔπλετ᾽ ἐναιρομένης ὑπὸ νεκρῆς.
ἀλλὰ τό τ᾽ αἰγιαλόν δὲ φόνῳ πεπαλαγμένος ἥρως
Ἐλθὼν ἔσσυτε λύθρον ἀποπλυνέειε θαλάσσης
θερμὴν δ᾽ ἐξ ὁμάδου κεφαλὴν ἔτι καὶ ῥομέουσαν
γοργείην, κατέθηκεν ἐπὶ χλοεραῖς βοτάνεσσι.
Ὄφρα δ᾽ ὅγε δίνησιν ἀπεσύχεσκε θαλάσσης

ΚΟΥΡΑΛΙΟΝ.

Στι δ' ἀμαλδύνειν σκορπήια κέντρα
I δύνασθαι
Καί περ σπίδεο μένος μέγα κουραλίοιο,
Ἣν δὲ παλαμναίῳ ἀνεμώλιον ἀπίδε θεῖναι.
τοῦ δὲ δέ μοι πάντων περιώσιον ὅσσα φύονται
φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ' εἰς ἕτερον στρωφώμενος εἶδος, ὅτις τοι
ψεῦδός κεν φαίη, τὸ δ' ἐτήτυμον ἄρα τέτυχθαι.
χλωρὴ γὰρ βοτάνη πρῶτον φύει, οὐδενὶ γαίη
τήν γε φυτῶν ἴσμεν στερεὴν τροφὸν, ἀλλ' ἐνὶ πόντῳ
ἀτρυγέτῳ, ἵνα φυκί', ἵνα βρύα γίνετ' ἐλαφρά.
ἀλλ' ἄρ' ἐπεί κ' ἔλθησι μαραινομένη ποτὶ γῆρας,
Ἤτοι μὲν τὰ φύλλα περιφθινύθουσιν ἀφ' ἅλμης.
αὐτὴ δ' ἐν βένθεσιν ὑπὸ φλοίσβοιο θαλάσσης
Νήχεται, ὄφρα κύματ' ἀποπλύσσοι αἰγιαλόν δε.
ἔνθα δ' ἄρ' ἐξαπίνης μιν ἀναπνεύσασαν ὑπ' αἴθρην
Βάζουσ' ὅ περ ἴδεν τὸ κρατυνομένην ὁράασθαι.
δηρὸν δ' οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
πετροῦται καὶ χερσὶν ἐνοκελθέντα τεῆσι
ἀμφαφάαις λίθον ὃ πρὶν ἔχων ὑγρὸν δέμας ἦεν.
σχῆμα μὲν οὖν βοτάνης ἔτι οἱ μένει οἷον ἔην περ,
ἅ τε κλάδοι, ὅσα τε σφιν ἀκρόδρυα προσπεφύασι
Ἠ οἵ τ' ἐβλάστη καὶ ἐτράφη ἐν ἁλὶ ῥίζα.
φλοιός θ' ὅς περ ἔην φλοιὸς κεν λάϊνος ἐστί.
τερπωλὴ δ' ἡδεῖα θεωμένου ἐς φρένα σεῖο

Δερκόμενοι γαίην ὑπὸ τοῦ, ἄφαρ δόλον ἐκβλύζοντα
Νυδίος, ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀλεείνοι,
ἄλλα τε πόλλ' ὦδι τοῖσι γαγάτην θέσκελα ῥέζειν
Οἶδα, σὲ δὲ κνίσῃσιν ἐλαύνων ἑρπετὰ τέρψει.

ΣΚΟΡΠΙΟΣ.

σ Κορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως
ἀγλαὸς ὠρίων οὐκ ἔκλυεν, ἢ γὰρ ὀΐω
πικρῇ πιν τότε γῇα πεπαρμένος ἀμφ' ὀδύνῃσι
μᾶλλον σφωιτερῶν κεν ἐκεῖνα θελεσκέμεν ἄστρων.

ΚΟΡΙΦΩΔΗ.

ὐ Δ' ὅγε κορσιόεντα λίθον κλύεν οὕνεκα μιχθεὶς
Δειμέος ἐν σκορόδοιο καρήατι τοξευτῆρα
Η πεδανῶν ἄπιστα βελέμνων σκορπίος εἴργει
τὸν μὲν ἐγὼ κόρσην μάλ' ἐοικότα φημὶ βροτεῖν
παύειν, ὀξυπάτῳ περιμμένον. ἄμμιγα βάκχῳ.
ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰὸν
μέτρῳ δ' ὅς κεν μίξειεν ῥοδόεντι ἐλαίῳ
κάμψας ἐκ πυρὸς ὀπὸν, ἐπαυχενίαις ὀδύναισι
ἄλκαρ ἄγει. μέλιτος δὲ μετὰ γλυκεροῖο κερασθεὶς
Ὕδατος ἀπηρὴν ὀλέκει κατὰ γαστέρος ὕλην.
Ἥτε κατ' αἴγδην ὑπὸ νέρτερα νηδύος ἀνδρῶν
Δυομένη φέρει ὄγκον ἀεικέα βουβώνεσσι.

Ἐκ κεφαλῆς ἕλκει ὀδύνην, ἤδη δέ τιν' ἀνδρῶν
οὔασι δηδύνοντα καθήρας ὤπασεν αὖψα,
καὶ δὴ καὶ λεπῆς ἐριήκοον ἔμμεν' ἀοιδῆς.
Ηδη καί τινα φῶτα χόλῳ χρυσῆς ἀφροδίτης
Ἔργα πρὸς ἱμερόεντα γάμων ἀμενηνὸν ἐόντα
Μεμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν.
ἐν πυρὶ δ' εἴ κε βάλοις μιν ὠδυδὴν ἑρπετὰ τοῖο
φεύξεται, οὐδέ τι πημανέει σχεδὸν, οὐδ' ἐνὶ κοιτῇ.

ΓΑΓΑΤΗΣ.

Εὔγει καὶ κνίσσῃσι γαγάτην ὀρνυμένῃσι
Τέροντα θνητοὺς ἐχ πνευκεῖ πάντας
ἀϋτμῇ.
χροιῇ δ' αἰθαλόεις, πλατὺς, οὐ μέγας ἔλ
πετ' ἰδέσθαι
Καρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δίαν ὀρίνει,
ἀλλ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει, οὐδ' ὅγε φῦτας
Λήσεται, ὧν καθέλοις ἱερὴν ἀπὸ νοῦσον ἐρύξαι.
γνάμψει γὰρ σφέας αὖψα χαμαὶ προπεπλιῶτας ἕλκων
οἱ δ' ἄρ' ἀπὸ σφετέρου πεπαλαγμένοι ἀφρῷ οἴμοιο
στρωφῶντ' ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν,
τοῖσι δὲ χωομένη φρένα τέρπεται, ὅππωτ' ἴδηται
πήματα πάσχοντας κεραὴ πόδας ὠκέα μήνη
Θηλυτέρη δ' ἄκεν πολυφαρμάκοισιν ἀμειβεβαῶσα
καπνὸν ὑπὸ σπλάγχνοισι ἀΐσσονται δέχηται.
ἀθρόος ἔνδοθεν ὥκα μέλας καταλείβεται ἰχὼρ,
Ὅς τε γυναικείης νεάτη μίμνων ἐνὶ γαστρὶ
Κέκλητται, τότε δ' αὐτὴν ὑπὸ πνοιῇσι λίθοιο

Αἰχμητὴ μελανίπποιο ἀνεψιὸς ἐσθλὸς ἐμεῖο
εἶδος ἀμώμητος, καὶ εἴδει καρπὸς ἀρείων
αἰζηοῦ ποθέον δευρυκλυτοῦ, εὐπλοκάμοιο.
Τούνεκα καὶ μετὰ θῆρας ἀλώμενος, οὔ ποτε νόσφι
Ἔσθενεν εὐφόρβοιο φέρειν ἱκετάονος υἱὸς,
ἀλλ' αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κούροιο μετ' ἴχνια, σύν τε κύνεσσι
Ἕσπετο, σὺν δ' ἑτάροις, ἔθελέν τε μιν οἶος ἕπεσθαι.
Ἤμεν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύσσειν
Ἀγχαλόων ἑὸν υἱα φίλον θήρεσσι μάχεσθαι.
καὶ πριάμοιο βίη μιν ἐρήτυεν, οὐδ' ὅγε θυμῷ
πείθετο, τίς κ' ἐθέλεσκε τό τ' εὐφόρβοιο λιπέσθαι.
Ῥεῖα γέ μιν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος
Νέρθεν ὑπὸ κνήμης ὀλεσίμβροτον ἰὸν ἐλάσσας.
τὸν μὲν ἔτ' ὦ ὀλοίστερος, οὐ λάθεν, οὕνεκ' ἔμελλεν
αὖθι λελείψεσθαι, τὸ ῥά μιν καὶ μᾶλλον ἔτειρεν.
Οἰκτείρω δ' ὀρέγοντα χέρας ποτὶ γούνατ' ἐμεῖο
αὐτοῦ τοῦ δὲ λίθοιο διαρρίψαντα κέλευσα
Λεπταλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ,
καὶ ῥὰ μάλ' αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος
τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
Ὅς τε καὶ οὐταμένοις ἄκος ἥρωεσσι κομίζειν.
καὶ στείρῃσι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι.
ποικίλα γὰρ θνητοῖσι θεοὺς ἔρδειν ἀγορεύω.
Ὡς καὶ ἐμῆς ποτε μητρὸς ἀβαρβαρέης ἐπακούσας
ἀνδρῶν εὖ μάλα, οὖσιν ἐπισταμένης ἀκέσασθαι
Βουκολίδης εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
φάρμακα, μὴ μούνων ὀφίων κατένωπα δύνασθαι,
ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος, ἠδὲ βαρεῖαν

Ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ᾽ ἄρα τοῖσι
Κάρτος ἀπειρέσιον, καὶ ποικίλον, ὅσσα δύνανται
Ῥίζαι, τόσα λίθοι, μέγα μὲν σθένος ἔπλετο ῥίζης·
ἀλλὰ λίθου πολὺ μεῖζον, ἐπεὶ μένος ἄφθιτον αἰεὶ
Γειναμένη μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν·
ἡ δὲ καταθνήσκει τε μινυνθάδιον θαλέθουσα·
καὶ τόσον αὐτῆς καρπὸς ἐφ᾽ ὁ τοσσόσον ἔμπνοος ἐστὶν
ἢν δέ κ᾽ ἀποπνεύσῃ τις ἔτ᾽ ἐλπωρὴ παρὰ νεκροῖς·
ἐν μὲν δὴ βοτάναις ἦει λυγρῶν τε, καὶ ἐσθλῶν
Δήεις· ἐν δὲ λίθοις ἄτην οὐ ῥεῖα κεν εὕροις,
Ἤτοι ὅσαι βοτάναι, τόσοι λίθοι, ἀλλὰ σύγ᾽ ἥρως·
Λᾶι σιδηρήτῃ πεφυλαγμένος ἑρπετὰ πάντα
Θαρσαλέως ἤ καί τοι ὁμιλαδὸν ἀντιόωσιν,
Ἔρχεσθαι διὰ μέσσα κελαινῆς οὐκ ἀλεγίζων
Λώβης, οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
οὐδ᾽ ἤν κεν στείχοντες ἐνιχρίμπτοιντο πόδεσσι·
οὐδὲ γὰρ οὐδὲ μένειν περ ἔτι προφανέντα δύνανται·
ἀλλὰ μέγα σφίσι θάμβος, ἐλαυνομένοισι δ᾽ ὁμοῖα
Ἔσσυνται. τὰ δὲ καί περ ἐναντίον ἀΐξαντα
ἂψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει·
καὶ σφίσιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
Νήχεται ἀλλ᾽ ὀρέγοντα πέλας περὶ μήκεα δειρὴν
Γλώσσῃσιν μεμάασι περισαίνειν σκύλακες ὥς,
πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
ἀμφὶ κυνηγεσίῃσι μενῶν ἐν τέρψεσιν Ἴδης
Θηρητὴρ εὔφορβος ἀρωγῇ τῇ δὲ πεποιθώς·
δῶκε γὰρ αἰτομένῳ λίθον ἱερὸν, οὐδέ ποτ᾽ αὐτῷ
Ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη·
τέρπετο δ᾽ εὐφόρβῳ περικαλλεῖ φέρτατος ἀνδρῶν

ἐξαπίνης ὄρσῃ νεογιλοῦ παιδὸς ἀϋτὴν
φωνῆς ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι·
χρὴ δέ σε τετληότι νόῳ αἰνέμεν αἰεὶ
μή πως νηπιάχοιο λυθεὶς ὑπὸ δείματος ἔξω
Ἐκ χερὸς οὖδας δὲ βαλὼν χόλον αἰνὸν ὀρίνῃς
ἀθανάτων, τόλμα δὲ θεοπρόπιον ἐρεείνειν·
πάντα γὰρ ἐξερέει νημερτέα, καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν ὅτε κεν λύσῃσι πελάσσας·
δέρκεο θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.
Ὧδε μὲν ἀπέδησιν ἀλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης φοιβήτορι λαῒ πιθήσας·
σοὶ δ' ἔτι καὶ ὀθνεῖος ἄλλο σιδηρήταο πιφαύσκω.
Ἑρπετῶν γὰρ δὴ πάμπαν ὑποτρομέοντι ἔοικε
σεῖο δ' ἔχειν πολὺ μεῖζον ἀκηρίμητόν τε νόσοιο
δεῖμα φιλοκτήτης μεμνημένος αἰὲν ἐχίδνης
Τοὔνεκα παλαμήδαο σαόφρονος, οὔποτε νόσῳ
Ἤθελεν εὔχεσθαι γουνούμενος, ὄφρά τιν' ἄποι
Θαλπωρὴν. εἴπερ ποτ' αὐτὴ χθόνα μητέρα θηρῶν
Ἔρχεται, πῶς κεν πολιὸν γένος ἐκπροφύγῃσι.
τῷ δ' ὅγε λητοΐδην ἐπέων ἀδι μάρτυρα φοῖβον
Κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.
εὖτέ με παῖδ' ἐδίδασκεν ἀκερσεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι
ψεύδεα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι.
Τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
φράζεο νῦν ἥρως ἑκατηβόλε μῦθον ἐμεῖο
αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι
τίκτει καὶ κακότητα, καὶ ἄλγεος ἄλκαρ ἑκάστου.
γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ' αὐτὴ τοῖσιν ἀρωγήν.

Οὐ μὲν πῶς κείνου ποιάντιος ἔλπετο θυμῷ
Νοῦσον ὑπεκφεύξεσθαι ἀπαρτηρὴν ποθέων περ
Ἀλλ' ὅ γ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἀρωγὴν
Λᾶαν ὅ τις κε πύθοιτο βαλὼν ἐπὶ φάρμακα μηρῷ
Σβέσεν ἐπιφρωέεσιν ἀλεξάνδροιο φονῆα.
Τὸν ῥα μεθ' ὑσμίνην ἥκειν ποσὶν ἀτρεμέεσιν
Πριαμίδης πάρος αὐτὸς ἀποθνήσκων παρὰ πίσει
Ἔκτανε δ' ἠπεροπῆα πάριν ποιάντιος ἥρως
Κεκλομένους δαναοῖς ἑλένου φοίβῳ δὲ κομίσσαι
Λοιγὸν ἀδελφειοῖο μιαιφόνον ἐκ λήμνοιο.
τῷ γὰρ ἀπόλλων φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε σιδηρίτην νημερτέα, τὸν ῥα βροτοῖσιν
Ἤνδανεν ἄλλοισι καλέειν ἄψυχον ὀφείτην
Λυγρὸν, ὑποβρυχὼ, στιβαρὸν, μελανόχροα, πυκνὸν
Ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνδυ.
Ἴκελοι ῥυτίδεσσιν ἐπὶ χράβδην τανύονται
Ἤματα μὲν τρὶς ἐφ' ἑπτὰ βίην ἑλένοιο πέπυσμαι
Θηλυτέρης τε λέχος φεύγειν, καὶ κοινὰ λοετρὰ
καὶ σεμνὸν ἀδίαντον ἐδωδῆς ἐμψύχοιο
Ἀενάῳ δ' ἐπὶ πέτρον ἐχέφρονα πίδακι λούων
φάρεσιν ἐν μαλακοῖσιν ἅτε βρέφος αὐδίσασκε
καὶ θεὸν ὡς ἀπ' ἀρῆσιν ἀρεσσάμενος θυέεσι
Λᾶαν ὑπερμενέεσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
Ἐν καθαρῷ δὲ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων
χερσὶν ἑαῖς ἀτίταλλε θεουδέα πέτρον ἀείρας
μητέρι νήπιον υἱὸν ἐοικὼς δὴ κατεχούσῃ.
καὶ τύχ' ἐπὴν ἐθέλῃς ὅττι δαιμονίην ἐπακοῦσαι
Ὧδ' ἔρδειν, ἵνα θαῦμα μέγ' φρεσὶ σῇσι δαείης.
Ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων

καὶ δοιὼ μάγνησσαν ἀδελφειὼ φορεόντων.
Θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε.
καὶ λαοὺς ἀγορῇ δὲ συναγρομένους ὀπὶ καρῇ
Θέλξεις ἐν στήθεσσιν ἄγων μελικηδέα πειθῶ.
Καί τοι πολλάκις ἄλλα διζησόμενος καταλύξω
Θέσκελα τοῖο λίθοιο· τί πλέον οὐρανιώνων
φθέγξομαι, ὧν αἶψα καὶ ὑψόθι περ μάλ' ἐόντων.
Ἦτορ ἄδην γνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε σεῖο
Ὡς καὶ μάλ' ὥς τε τοκῆος ἐέλδωρ ἐκτελέσωσι.
ἀλλ' ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆσαι,
πάντα μάλ' ὅσ' ἀγόρευσα πορέσσεται. εἴκ' αὐτὶ βωμὸν
Ἔλθωμεν, καὶ γάρ μοι αὐδησόμενός μοι ὅγ' ἀνὴρ
Ὤμοισι κρατεροῖσιν ἐὼν φέροι αἰόλον ὕλην.
Νῦν δ' ἐπεὶ ἀφραστοῖο πολὺ πλέον ἄμμι λέλειπται
Σεῖο δέ τοι κλονέει κραδίην μέγα δέρμα δράκοντος
μάνθανε καὶ δολιχῶν ὄφεων μὴ δειέμεν ἰούς.
ῥίψαι γὰρ λεπτὴν ὀφιήτιδα κεκλοπέρην,
Ἤν ποτέ τις κρατεροῖο πεπαρμένος ἔλθῃ ὀδοῦσι
Καί μιν ἐφ' ἕλκει πάσσε, καὶ ἀφρενὲς ἔασετ' ὄνειαρ.

ΟΣΤΡΙΤΗΣ.

Ὑν δὲ καὶ ὀστρίτην οἴνῳ λίθον ἐνρίψαν-
τας
Ἄκριτον κέλομαι πίνειν ὀδυνήφατον
ἀοιδώς.
οὐλὸν καὶ στυγνήτην πολιῆς καὶ ὁμώνυμ' ἐχίδνης,
Ἥ ῥα ποτ' εἰνάετ' ἰλώβην ἀμενηνὸν ἔθηκας.
Ῥίμφα φιλοκτήταο μαχαονίης ὑπὸ τέχνης.

Εν γάρ σφιν μέγα δή τι φερέσβιος ἔμβαλε πνεῦμα
Ηέλιος ῥοῖζον ἑελικυδέος αὐτίκα φωτὸς
σεμνοτέρους τ' ἰδέειν, καί τοι σέβας ἄσσεται αὐτῶν.
αὖψα γὰρ ἡρώων σφιν ἐπέρχεται εἶδος ἀγαυὸν,
οἵ τε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέουσι.
τόλμα δ' ἀθανάτοις, καὶ ἐν ἠέϊ κεκλίασεσθαι.

ΜΑΓΝΗΤΙΣ.

Αγνῆτιν δ' ἔξοχ' ἐφίλησεν θοῦρος
μ ἀρῆς.
Οὕνεκεν ὁππότε κεν πελάσσοι πολιοῖο
σιδήρου.
Ηΰτε παρθενικὴ γλαγόφονι χεροῖν ἑλοῦσα
Ηΐθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι.
Ως ἥγ' ἁρπάζουσά ποτι σφέτερον δέμας αἰεὶ
καὶ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον.
Ητοι μὲν μιν φασὶ καὶ ὑελίοιο πέλεσθαι
ἀμφίπολον κούρης, ὅτε κεν θέλγηθρα πελώοι.
Καί μιν ὑπέρθυμος τέκε κτόνος αἰήταο
Κύδηισεν κούρη πολυμήχανος. αὐτὰρ ἔγωγε
σῆς ἀλόχου κέλομαί σε δαήμεναι ἢ ἔθεν ἀγνῶ
ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ δῶμα φυλάσσοι.
Ες γάρ μιν κομίσας ὑποδέμνια κάτθεο λάθρη
Χάλεσιν ἀείδων θελξίμβροτον ἀφέμας ὠδὴν,
Η δὲ κατακνώσσουσα καὶ ἤδει περ μάλ' ἐν ὕπνῳ
ἀμφὶ σὲ χεῖρ' ὀρέγουσα ποτιπτύσσειν μενεαίνει.
ἢ δέ ἑ μαχλοσύνῃσι ἐλαύνει δ' ἀφροδίτη
ὑψόθεν ἐς γαῖαν τετανύσσεται ἐκπροπεσοῦσα

ΤΟΠΑΖΟΣ.

Ἐσθλοὶ δ' αὖ τ' ἄρ τοῖσι καὶ ὑαλοειδέες
εἶναι.
Κλείονται θνητοῖσι θυηπολίῃσι τόπα-
ζοι.

ΟΠΑΛΛΙΟΣ.

Ἦ μὴν δή τοι τέρπειν καὶ ὀπάλλιον οὐρα-
νίωνας
Απαλὸν ἱμερτοῖο τέρενα χρόα παι-
δὸς ἔχοντα
καί ἑ καὶ ὀφθαλμοῖσιν ἀοσσητῆρα τετύχθαι
κἀπίτυος δάκρυσιν λιθούμενον ὀψιανοῖο
καὶ σμύρνην σμίσγειν δυώδεκα, καὶ φολίδεσσιν
ἀργυφέαισιν λεπιδωτὸν ἀποστίλβοντα κελεύω.
αὐτίκα γάρ τοι δώσουσι θεοπροπίας, ἀγαθῶν τε
Εσσομένων, λυγρῶν τε. καὶ ἔσσεαι ὡς ἐθέλησθα
καὶ νούσων ἀλεγεινὰ πάθη λεπιδωτὸς ἀμύνει.
Δοιὼ δ' ἠελίου χρυσότριχε λᾶε πέλονται
Αμφω θεσπεσίω θάμβος δέ τοι ἔσσετ' ἰδόντι.
Αμφοτέροις ἀκτῖνες ἐτήτυμοι ἐμπεφύασιν,
Ορθαὶ, λαμπετόωσαι, ἰδεῖν γε μὲν οἷον ἔθειραι
εἶδος δέ σφι λίθων ἄλλο, τὸ μέν τε νοήσεις
Κρύσταλλον κενεὸν, ὁ δὲ χρυσολίθῳ δέμας αὐτὴν
Ικελος ἀστράπτειν. ἀλλ' οὐκ ἔχει οὐδ' ὅγ' ἐθείρας
χρυσόλιθός κεν ἴῃ, ἀτὰρ ἐσθλὸς φημὶ τετύχθαι.

Ὕδασιν εὐφρήταο διαινόμενον ζαθέοισι.
Ὅς τις φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς
Κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀλωὰς
Ἀμφιέσας, πολλόν τοι ἀφύασεσθαι μέθυ δώσει.

ΙΑΣΠΙΣ.

Αἲ γλαφυρὸν κομίσαις ἐαρόχροον
αἴκεν ἴασπιν.
Ἱερὰ ῥέζοιτις μακάρων ἰαίνεται ἦ-
τορ
καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν ἀρούρας,
Ἠδὲ καὶ αὐχμηρῇσιν ἄγοι πολὺν ὄμβρον ἀρούραις.
αὔχνης δ' ἐκ πεδίου ῥοθίων ἀπόεργε χάλαζαν
Ἡμετέρου, καὶ κῆρας ὅσαι σι χήωσιν ἐπ' ἀγρούς,
καὶ σὲ γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
Ἥν τε περ κρύσταλλος αὔδη πυρὸς ἐς φλόγα πέμπεις
σὺ δέ σοι ἀντίπαλον κεῖται μένος, ὁππότε μὴ πῦρ
κνιδὼ ἀμφιέσῃ, σὺ δὲ πλείοιο λέβητος
ψυχρὸν ἐπειγομένοιο περισμίμνει ἔνδοθεν ὕδωρ,
ἠδέ τις σὺ ψυχροῖσι λίποι κονίῃσι λέβητα
παφλάζει κρατεροῖο κυκωμένου ἔνδοθι χαλκοῦ.

ΠΕΡΙ ΚΕΡΑΤΟΣ ΕΛΑΦΟΥ.

Κέπλεο, καὶ θνητὸν ἔχων ἐλάφοιο πέλα-
σ ζε
Ἀθανάτοισι κέρας, ποτὶ γὰρ νόος οὐρα-
νιώνων.
Μειλίχει, φύσιος πολυδαιδάλου ἔργον ἰδόντων
Ἐκ κεφαλῆς ἐλάφοιο φύεται μὲν οὐ ποτὶ κόρσην
πέτρη, ἀλλ' ἔμπης πέλεται κρατερή τε γε πέτρη.
Οὐδέ κεν αὖ γνοίης κέρας ἀφρεκὲς, ἢ λίθος ἐστὶ
πρίν κε μιν ἀμφαφόων δύροις νημερτέα λᾶαν.
αἰέ τοι θέσει λασίῳ ἐπὶ κραδίῃ λάχνην
ἢ καὶ ψεδνοκάρηνος ἔοις, ἢ γάρ μιν ἐλαίῳ
τριβόμενον τρίβοις κροτάφους πάνθ' ἤματα σεῖο,
αἱ δὲ, νέαι περὶ βρέγμα τεὸν τρίχες αὐθήσουσι.
Πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια, κούρην
Τερπωλῆς ἐρατῆς ἐπιμάρτυρα τὸν δὲ φέροιτο
Λᾶαν, ὃ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἅμ' ἄμφω
Ὕστατον ἐς γῆρας καὶ ἐς ἤματα πάντα καθέξει.

ΤΩΝ ΕΝ ΑΓΡΟΙΣ ΑΥΛΙ-ΖΟΜΕΝΩΝ.

Οἱ μὲν δ' ἀγραύλων ταύρων δυὸς αἰ-
π γόχοιο
ἢ εἰ κεασοχίτωνι λίθον καταθύμιον
εἶναι
Βάρβαρον ἀγγέλλω, συνειδενέος καλαδεινοῦ

ΠΕΤΡΑΚΗΣ.

Χρὴ δὲ καὶ εὐπέταλον πεφραμένα λᾶαν ἔχοντας
Ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.

ΑΧΑΤΗΣ.

Αἰ δενδροφύτοιο φέροις ῥῦφος ἐν
χερὶ πέτρης
κ Μᾶλλον καὶ τέρποιτο θεῶν νόος αἰὲν
ἐόντων.
Δένδρεα γὰρ μάλα πολλὰ κατόψε
ται ὡς ἐνὶ κήπῳ
Ἀνθεμόεντι, κλάδοισιν ἐπασσυτέροις κομόωντα
Τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
Θῆκαν ἐπωνυμίην. ὅτι οἱ τὸ μὲν ἔπλετ' ἀχάτου
Ἄλλο δ' ἔχει λασίης ὕλης δέμας ἀσπαράσθαι,
Τὸν δὲ τοῖσι βοέασιν ἀναχίζουσιν ἄρουραν
Ἀμφὶ κέρα δύω βαλέειν, ἢ καρτερὸν ἀμφὶς
Ὦμον, ἀροτρεύοντος ἀτειρέος ἀγροιώτου.
Καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
μεστὸν ἴοι φερέκαρπον ἐς αὔλακα κόλπον ἔχουσα.

χευάμενος, διὰ πῶυ καὶ αἰγῶν ἔρχε' ὅμιλον
ῥαίνων καρποφόρον λάσιον κατὰ νῶτον ἑκάστης·
θέλλωνται δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκοὺς
ἐξαπίνης μετὰ τέκνα φέρε γλαγέεσσι πελέθουσι,
οἱ δ' ἄρ' ὑπὲρ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσοντ' ἀγέρωχοι.
Σὺ δὲ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα,
Ὄρνυε πινέμεν νύμφην, ἵνα νήπιον υἷα
Μαζοῖσιν μεθύοντα παρ' εὐναίοισι κομίζοι.
Ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀερτάζουσα τιθήνη,
Λᾶαν, ἐρυτήσει κακομήτιος ὄσσε μεγαίρης.
Καὶ δέ σε βασιλῆες ἀμύμονες αἰδέσονται
Ἐν χερὶ λᾶαν ἔχοντα, καὶ ἄπλετα φῦλ' ἀνθρώπων.
Ἀθάνατοι δὲ μάλιστα, νόου καταθύμια σεῖο
Πάντα τελευτήσουσιν ἐπαράων ἀΐοντες.

ΡΕΤΡΑΚΗΣ

ΓΑΛΑΤΙΤΗΣ.

Εὔτερον δ' εὐχομένῳ τοι ἀρηγόνα λᾶαν
ὀπάσσω
δ θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἥν τε
μαζὸν
Πρωτοτόκου νύμφης, ἢ μὴ κάδος οὔθατο ἐάσης
τὴν ῥα παλαιγενέες μὲν ἀνακτίτιν ἀδάμαντα
Κλεῖον, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλαῖς
ἀζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν.
Ἠδ' ἄρα μιν λήθαιον ἐφίμισαν, οὕνεκεν αἰεὶ
μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει.
Θνητοὺς ἀθανάτους τε, νόον δ' ἐριούνιον εἶναι
Θέλγει, ἐπιφρώων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
ἄλλο δ' ἐσκήψαντο γαλακτίδα φέρτερον εἶναι
Κικλήσκειν πέρην, ὅτι τοι ῥίψαντο γάλακτος
ἐκ προρέει λευκοῖο πανίκελος ἔνδοθεν ἰχώρ.
πεῖρα δέ τοι καὶ τοῦ δὲ παρέσσεται αἴ κε θέλησθα.
οὔθατα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι.
πῶς ἔρξεις φίλε τέκνον, ἐπὴν ἐρίφοισι τεοῖσι
οὕς ποτε θῆρα πέλωρον ὑπεκπροφυγεῖν ἱκέτευσιν
τοῖσι παρασταίης τελκόσι, οἱ δ' ἐνὶ σηκῷ
ἀμφίσε λεπταλέοι γοερὸν περιμυκήσονται.
τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αἰὲν
λούειν πηγάων κυανοχετέων ἐν δίνῃσι
στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος
ἁγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας.
ἅλμην δ' ἐν κρητῆρι, καὶ ἄλφιτα λεπτὰ λίθοιο

αἰὲν ἄγοι κακότητος, ἀδακρύτοιό τε πέμποι
Ολβου πρὸς μέγα δῶμα, φιλοφροσύνης εἵνεκα σφῆς
οὐδὲ μὲν οὐδὲ σ' ἐγώ περ ἀμοιβῆς αὐτὸς ἀμέρσω,
ἀλλ' ἐπεὶ οὖν ἀέξων ἱερήιον ἤδη ἀναβαίνεις.
Οφρα τοι εὐχομένοιο κλύοι θεὸς ἐνδυαλίξω.

ΚΡΥΣΤΑΛΛΟΣ.

Κρύσταλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
Λᾶαν, ἀπόρροιαν περιφεγγέος ἀμβρότου αἴγλης.
αἰθέρι δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ.
Τὸν κ' εἴπερ μετὰ χεῖρας ἔχων περὶ νηὸν ἵκηαι
οὔτις τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
Κέκλυθι δ' ὄφρα μάθοις γε μένος ἀργεννοῖο λίθοιο.
εἰ γὰρ ἄτερ κρατεροῖο θέλεις πυρὸς ἐς φλόγας ὄρσαι
Κέκλομαι ἀζαλέων μὲν ὑπὲρ δαΐδων καταθεῖναι.
αὐτὰρ ὅ γ' ἠελίοιο κατ' ἀντίον αὐγάζοντος.
αὐτίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσσει.
Ηδ' ὅτε καρφαλέης πέθιγῃ καὶ πίονος ὕλης
Καπνὸν, ἔπειτα δὲ πῦρ ὀλίγον μετὰ δὲ φλόγα πολλὸν
Ορσει, τὴν δ' ἄμμι φασὶ παλαιγονίης ἱερὸν πῦρ,
Τάων οὐχ ἑτέρας μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
ἀθανάτοις οὕτω κεχαρισμένα μηρία καίειν.
πρὸς δ' ἔτι σοι καὶ τοῦτο φίλος μέγα θαῦμα πιφάσκω
αὐτὸν ὅτις πέλεται φλογὸς αἴτιος, αἴκε μάλ' ὦκα
Εκ πυρὸς ἁρπάξας ψυχρὸς πέλει ἀμφαφάασθαι
ἀμφὶ δὲ καὶ νεφροῖσι δεθεὶς καμόντας σαώσει.

Ἄλλος, ἔπειτα δ' ἐπ' ἄλλος ἑλισσομένου φόνος ἤεν,
Ἤδ' ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἤρπαζεν
συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀϋτῆς·
καὶ τύπτον ἄῤῥηκτον ὀρεσκώοιο κάρηνον
Ἀμφ' αὐτῷ θραύεσκον ὑπέκπυρον ὄζον ἄκικυν.
οὐ γὰρ μόρσιμος ἦα δαφοινῷ θηρὶ δαμῆναι.
τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισι
Ἑσπομένῳ δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντε
γνόντες ἐπεδραμέτην μάλα γάρ σφισι μείλιχος ἔσ-
χ' ὁμαρτ' ἔσσυτο τοῖιν, ἐγὼ δ' ἐς γαῖαν ὀρούσας (σκον
προτροπάδην, ὥς τίς τε διὸς γαμψώνυχα φεύγων
αἰετὸν ἐν πυκινοῖσι λάσιοι θάμνοισι λαγωός.
τῷ ἴκελος μήλοισι μιγεὶς ὀλοοῦ ὑπὸ θηρὸς
Ἐκρύφθην μέσσοισιν ἐνιπτύξας ἐρίφοισι.
Ὄφρα μὲν οὖν ὠκαίκητα πατὴρ ἐμέθεν ζώεσκεν
αἰτὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμύντορα βωμὸν.
Τείνων ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο,
ἀλλ' ἄρ' ἐγὼν ἀδέληθεν ἐλάσας πίονα μόσχον
ἠαρινὸν θαλέθοντα νεηλώιδες οὔθατι μητρὸς
Ἔρχομαι ἐς ἀκρώρειαν ἄγων χορὸν ἡδὺν ἑταίρων
Σὺν δέ σφιν καὶ τὼ δεδρακόντο φόνῳ κύνε βήτην
αὐτομάτω, γλυκερὴ δὲ πέλει πέρι, βωμὸν ἄνακτος
Τερπωλή, χλοερόν τε πέδον, μαλακαί τ' ἐπὶ ποῖαι.
καὶ λασίαι πτελέῃσιν ὑπὸ σκιὴ ἄγχι δ' ἄρ' αὐτῶν.
ὕδωρ ἀέναον λισσῆς ὑπὸ πυθμένα πέτρης,
Λευκὸν ἀναβλύζον κελαρύζετε ἥκελον ὠδῇ.
Ἴομεν, οὔτοι δαῖτα θεῶν θέμις ἀρνήσασθαι.
Ὣς ἐφάμην, ὁ δέ μ' ὧδε προσηύδα δαιμόνιος φώς,
Ἀλλά σε μὲν κρείων φαεσίμβροτος ἐξ ἀλεγεινῆς.

ἀλλ' ἤτοι ἄλλος μὲν ἀκούων οὔνομ' ἕκαστος
Ἱστάμενος μίμνεσκεν, ὀρεξάμενος δὲ δοκεῦσαι,
πρὶν μάρψαι χείρεσσιν ἀλυσκάζων προφύγεσκεν.
ἀλλ' ἄρ' ἐγὼ σπούδηκεν ἐπὶ στόμα κάππεσον ἐλθών.
Ἄψ δ' αὖθις γαίηθεν ἀναΐξας ἐδίωκον.
Ἀλλ' ὅτε δὴ κορυφὴν δὲ μετασπόμενος, εἷον ἄκρην,
οἱ μὲν ἄρ' ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὁρῶντες
αἰγανέης ἔσσυντο θοώτερον, ἠὲ βελέμνου
ὑψίκομον ποτὶ φηγὸν, ἐπεσσύμενοι προϊδόντες
αἰνὸν ὄφιν πετάσοντα γένυν ὦ πλείω θανάτοιο.
τὸν δ' ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀΐξαντα
Οὐκ ἴδον, ὀφθαλμοὶ δέ μοι ὀρνίθων ἀλάλυντο.
πρίν περ ἀναστήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὴν
ἐφρασάμην, ἤδη τε δέμας μεμαῶτα φυλάξαι.
ἔνθ' εἴ τις σπεύδοντα παλίσσυτον ἐσενόησεν
Οὔτε με περδίκεσσιν ἀελλοπόδεσσιν ἔπεσθαι
οὔτε με νηπιάχοισιν ὀΐσατο ποσσὶ φερέσθαι.
Κέκλετο γάρ μοι δεῖμα πανύπτερον εἶναι ἀαυτὸν
καὶ πνοιῇ ἀνέμου, παρὰ δὲ ποσὶν κακὸν ἦεν.
πολλάκι δ' εἵματος ἄκρον ἐπιψαύεσκεν ἀκωκαῖς
Καί κεν ὑπὲρ μοῖραν με πελώριος ἀμφέχανεν θήρ.
εἰ μή μοι νόος ἆρτο θοῶς ἐπὶ βωμὸν ὀροῦσαι.
τὸν ῥα παλαιότεροι φαεσιμβρότῳ ἱδρύσαντο.
τῷ δ' αὖ ἐπὶ ῥύφος αὖον ἐλαινέης ἐλέλειπτο.
σχίζης, ἣν τε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ
τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
Ἐστρέφθην. μαίνησε δ' ὀρεσκῷον μένος αὐτὸν
Μαρνάσθαι μεμαῶτα ἰδὼν, εἴλυτο δὲ πυκνῶς
γνάμπτων σὺν κύκλοις ποτὶ ἣν ῥάχιν, ἀλλ' ἄρ' ἐπ' ἄλλῳ

Αφνειοῖο χρυσοῖο πολὺ προφερέστερα δεῖξεν·
Φῶτα δὲ δίζηται ταλακάρδιον ὅς κεν ἑκάστου
Εμμεμαὼς πειρῷτο μενοινήσαί τε, κάμοι τε,
Ος τε διδάσκηται, καὶ ὃς ἀδύτας ἐξερεείνοι·
οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
εὐρύοπα κρονίδης ἐθέλει δόμεν, ἀλλὰ καὶ αὐτοὶ
Ες δύσιν ἀναπνοῶντες αὖ αἰθέρα λαμπετόωσαν
Ηέλιον φαέθοντα ἐφ' ἅρματι πῶλοι ἄγουσι.

Η ΥΠΟΘΕΣΙΣ.

Αλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος εὑρὼν
μ Τέρπομαι, ἤπερ χρυσὸν ἁπάντων ἠΐ-ρανον ἀνδρῶν.
Ηελίῳ γὰρ ἄγων ἱερήϊον ἀντεβόλησα.
ἀγρόθεν ἄστυ δ' ὄντι περίφρονι θειοδάμαντι·
Καί μιν ἑλὼν χερὶ χεῖρα προσηύδαον ὧδ' ἐπέεσσι
Ες πόλιν οὐ μὴ πάμπαν ὦθι ἀπέρχουσιν ἀνάγκαι
Ρηϊδίως ὦ ἑταῖρε καὶ αὔελον ἐς ἄστεθ' ἱκέσθαι.
Νῦν δέ σε μοι στείχοντα μετ' οὐλαπίνην θεὸς αὐτὸς
Ωρσεν ὑπαντιάσαι, ᾧ μοι πρόφρων ὑπόνευσον.
Εσπεσθε, θυσίαι ἱεροπρεπέες τελέθουσιν
ἃς ἀγαθοὶ ἕζουσι βροτοί, γαίνυται δὲ φίλον κῆρ
ἀθανάτων, οὓς τ' αὖ σφι χορὺς ἀνάγωσιν ἄριστοι.
ἄξω δ' οὐ μακρὴν ἐς ἀταρπιτόν, ἠσοράας γὰρ
Ημετέρων με κιόντα πρὸς ἀφρὸν ἀκρώρειαν.
Ενθα νεογνὸς ἐών, ἔτλην ποτὲ μουσῶς αἰελθεῖν
Λαιψηρῷ πέρδικι μετασσόμενος προφυγόντι·

Ἀλλ' αὖτ' ἀπειρέσιοι πολυμνήστος ἑρμείαο
Δωτῖναι κομίσαντος ἐνὶ προηλύσι κέονται
Ἄμβροτοι, ἀφρεκέως, ῥίμφα πεπήασουσαι ἑκάστῳ
πάων, ἡμίθεός τε, καὶ ὄλβιος, ὅστ' ἀφίκηται
τὰς ἐμὲ κηρύσσειν λαοσσόος ἀργειφόντης
Ἀνθρώποισιν ὄρινε μελιγλώσσοιο κελεύσας
φθόγγον ἀπὸ στήθεσφιν ἀοιδοῦ γηρύσασθαι.
Ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν
Ἵμερος, αἶψα δὲ πρέσβυν δικαιοσύνην ἀτίουσιν
μητέρα δ' ἡρώων ἀρετὴν ἀπάτερθε κλύοντες
προφροπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθων
Μόχθων ἀοσσητῆρα βίου μάλα πεφρύκασιν.
οὐδὲ σφι κρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ,
οὐδέ τις οἶδε θεοῖς ὀπιζέμεν ἀθανάτοισι
Ἐκ δ' οἵγε πολίων τε, καὶ ἀνδρῶν ἤλασαν ἐσθλήν.
Ἀδειλοί, σοφίην ἐρουώιον ὑβρίζοντες.
Ὤλετο γὰρ προτέροις πεπονημένος ἡμιθέοισιν
Ἔργον δ' ἀργαλέος, καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν
Δῶκεν, ἐπωνυμίην λαοὶ τεύξουσι μάγοιο.
καὶ ῥ' ὅμεν κονίαισιν ὑπ' ἀόρει κρατὸς ἀπενθὴς
Λευγαλέῳ θανάτῳ δῖος φῶς ἐκτετάνυσται.
οἱ δ' ἴκελοι θήρεσσιν ἀΐδελοι, οἱ δ' ἀδίδακτοι
χήτει δαιμονίοιο νοήματος, οὔθ' ὑπ' ἀρωγὴν
θεσπεσίην φυγέτην φαεσίμβροτον, ἐκ κακότητος.
οὔτε τι θέσκελον ἔργον, ὅκεν μάλα θαυμάζοντο,
Ἴσασ'. ἀλλά σφιν νεφέλη περιπέπτασι κελαινὴ
Ἀμφιπεριπλασθεῖσα βαδιζέμεν αἰθεμόεντα
Ἐς ἀρετῆς λειμῶνα πολυστέφανόν τε, μεγαίρει,
Ἀλλ' ἐμέθεν ὑποχεῦμαι κειμήλια πειθομένοισι

οὐδὲ οἱ ἀθλητῆρι κονισαμένῳ ἐν ἀγῶνι
ἀντίβιον τινὰ θυμὸς ἐφορμήσει μενεαίνειν
Οὐδ' εἰ χάλκεα γυῖα καὶ ἄγναμπτον σθένος ἀνὴρ
Αντικρὺς στεφάνοιο πόθῳ κομίσας ἐσιδαίνοι.
Ναίμεν καὶ θήρεσιν ὀρεσκώοισι λέοντα
Δεινὸν, καὶ λαοῖσιν ἐοικότα δαίμονι τεύξω.
καί οἱ καὶ βασιλέεσι διοτρεφέεσιν ὀπάσσω
Ρεῖα καὶ ἀλλοδαποῖσι μετ' ἀνθρώποισι πέλεσθαι.
ἢν δὲ καὶ ἤϊθεον τερενόχροον ἱμερτῇσι
αἰὲν ἐφορμήσουσι περιπτύσσειν παλάμῃσι
καὶ μαλακὴ χρύσειον ὑπὸ λέχος αἰὲν ἐρύσει
Αλληκτον κούρη ὑπὸ ἱεμένη φιλότητος
εὐχομένου τε, πρὸς οὐ κατ' ἀφίξεται αἰὲν ἐόντων
εὐχῇ, καὶ πόντοιο κυκωμένου οὐκ ἀλεγίζων
Ἐσσετ' ὑπὸ φαφερὴν ἀκυμάντοισι πόδεσσι.
ἢν καὶ ληιστῆρες ἀνάρσιοι οἷον ἐόντα
φεύξονται, καὶ δμῶες ὀιόμενοι πατέρ' εἶναι
τίσουσι, καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
Ιδμεναι αἴ κε θέλῃσι δαήσεται, ὅσσα τε φῶτες
Κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μαχανόωνται,
Οσσά τε κεκλήγασι μετὰ φρεσὶν ἱεροφοῖται
Ανθρώποις, ἄφραστον ἰακχάζοντες ἀοιδὴν
οἰωνοὶ μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται
Ροιζῶντες, καὶ χαμαὶ ἐρχομένοιο δράκοντος
ἔσσεται, ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
δώσω οἱ καὶ φῶτα, ῥοπῇ πίπτοντα σελήνης
Ρύσασθαι, καὶ νοῦσον ἀπαρτηρὴν ἐλέφαντος
καὶ ψυχὴν ἐλάσαι τεθνειότος, αἴ κεν ἐρεμνοῦ
ἐξ ἀΐδος πωμυλοῦσα ποτιχρίμπτοιτο ἑκάστῳ

Ωρον ἀλεξικάκοιο διὸς θνητοῖσιν
ὀπάσσαι
Κεκλόμενος μακὴς ἐριούνιος ἦλθε
κομίζων
ὑὸς, ὅπως ἀνέχωμεν ὀϊζύος ἀφρεκὲς
ἄλκαρ
Γηθόσυνοι δ' ἔχνυσθε βροτοὶ, πινυτοῖσιν ἐνίσπω,
οἷς ἀγαθὴ κραδίη, καὶ πείθεται ἀθανάτοισιν
Νηπιτύοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν·
τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλόμενος ὑπὸ δώρῳ
ὕατε λιπτίδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἷξεν ἀγωνὲς ὄλυμπον ἀγάννιφον, ἠδὲ σαόφρων
Παλλὰς ἀθλοσύνη λαοσσόον ἡρακλῆα.
Αλτο δὲ καὶ κρονίδης παγχὸν ὑπὲρ αἰθέρα χείρων
Σεύατ' ἐς πρὸς ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα
Αλλ' ἤτοι κείνους μὲν ἀμώμητοι διὸς οἶκοι
χαίροντας δέξαντο θεηγενέων ὅχ' ἀρίστους.
Ημῖν δ' ἐν γαίῃ κέλεται χρυσόρραπις ὄλβῳ
Ζώειν τερπομένοισιν ἀπειρήτοις κακότητος,
Ον δῆκεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγει
Ες πολυήρατον ἄντρον ἐπελθέμεν ἑρμείαο,
Ενθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον
αὖ λαικεν ἀμφοτέρῃσιν ὀνέατα πολλὰ κομίζων
οἴκαδ' ἀπὸς εἴχοι, προφυγὼν πολύδακρυν ὀϊζύν,
οὐδὲ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει.
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποδείσας μένος αἰνὸν
Αψ ἀναχωρήσει προλιπὼν ἐριηθέα νίκην.

Στέον δὲ ὡς δύο τινὰ προοίμια τοῦ πα-
ρόντος προτίθεται ποιήματος, ἐν μὲν
I τῷ προτέρῳ αὐτήν τε τὴν ἀρετὴν, καὶ σο-
φίαν ἅπασαν ὑμνῶν, καὶ τῇ πάλαι
τῶν ἡρώων κατ' αὐτὴν γενομένοις ἐν-
δόξοις, καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα τὴν
ἀρετὴν προσείρηκεν, ἐν ταυτῷ δὲ καὶ τῶν ἰδιωτῶν
καθάπτεται, ὡς ἄγαν φθόνως ἐχόντων πρὸς τοὺς τὴν
ἀρετὴν διώκοντας, καὶ τούτοις ἀεὶ φιλαπεχθημό-
νως ἐπικειμένων· ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὴν καὶ θεῖον
δαίμονα γίνεται διάλογος.

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΩΣΚΟΥ

ΥΡΟΘΕΣΙΣ ΕΙΣ ΤΟ ΡΕΡΙ ΛΙΘΟΝ ΟΡΦΕΩΣ.

θ Ειοδάμαντι τῷ πριάμου συναντῆσαι ὀρφεὺς μετὰ τῶν ἑταίρων τινῶν πρὸς θυσίαν ἡλίου ἣν ἐτέλει κατ᾽ ἔτος, εἰς ὄρος ἀνερχόμενος, καὶ αὐτῷ τῆς νενομισμένης ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα καταφυγεῖν εἰς τὸ ἐκεῖ που πλησίον ἱερὸν, τοῦ ἡλίου, ὑφ᾽ οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο, τῆς τοῦ παιδὸς σωτηρίας κατ᾽ ἔτος ἦγεν ἡλίῳ θύματα, μεταστάντος δὲ ἐκείνου τῶν ἐντεῦθεν αὐτὸς ὀρφεὺς ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος, ἣν νῦν ἀφοσιούμενος, ἄνεισιν, συμπαραλαβὼν, καὶ θεοδάμαντα, οὗτος δὲ καθ᾽ ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἵτινές τε αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύοιτο, καὶ οἱ πρὸς τὰς ἰοβόλους τῶν δήξεων θεραπείας, ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ θηριακά.

Ὄργια καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

Εἰς ἀφροδίτην.

Μνέομεν λυκίων βασιληΐδα κουραφρο-
δίτην.
Ἥς ποτ' ἀλεξικάκοιο περιπλήθοντες ἀρω-
γῆς.
Πατρίδος ἡμετέρης θεόφραδμον δ' ἡγεμονῆες
Ἱερὸν ἱδρύσαντο κατὰ πτολίεθρον ἄγαλμα,
σύμβολ' ἔχον νοερεῖο γάμου, νοερῶν ὑμεναίων,
Ἡφαίστου πυρόεντος, ἰδ' οὐρανίης ἀφροδίτης.
καὶ ἑῆν ὀνόμηναν ὀλυμπίαν. ἧς διὰ κάρτος
πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν.
Ες δ' ἀρετὴν ἔχον ὄμμα τελεσιγόνων δ' ἀπὸ λέκτρων
Ἔμπεδος ἀγλαόμητις ἀνασταχύεσκε γενέθλη,
Ταύτῃ δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
Ἀλλὰ καὶ ἡμετέρην ὑποδέχνυσο πότνια θυηλήν,
εὐεπίης λυκίων γὰρ ἀφ' αἵματος εἰμὶ καὶ αὐτός.
ψυχὴν δ' ἂψ ἀνάειρον, ἀπ' αἴσχεος ἐς πολὺ κάλλος
Γηγενέος προφυγοῦσαν ὀλοίϊον οἶστρον ἐρώτων.

αἳ ψυχὰς κατὰ βένθος ἀλωομένας βιότοιο
Ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων.
Γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων,
καὶ σπουδὴν ἐδίδαξαν, ὑπὲρ βαθυκύμονα λήθην
Ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν ποτὶ σύννομον ἄστρον
Ἔνθεν ἀπεπλάγχθησαν, ὅτ' ἐς γενεθλήιον ἀκτὴν
Κάππεσον, ὑλοφαγέσι περὶ κλήροισι μανεῖσαι.
Ἀλλὰ θεαὶ καὶ ἐμοῖο πολυπτοίητον ἐρωὴν
Παύσατε, καὶ νοεροῖς μεσοφῶν βακχεύσατε μύθοις,
μηδὲ μ' ἀποπλάγξειεν ἀθέων γένος ἀνδρῶν.
Ἀτραπιτοῦ ζαθέης ἐριφεγγέος ἀγλαοκάρπου.
αἰεὶ δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης,
Ἕλκετ' ἐμὴν ψυχὴν παναλήμονα πρὸς φάος ἁγνὸν
Ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ βίβλων,
καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.
Κλῦτε θεοὶ σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἳ ψυχὰς μερόπων ἀναγώγιον ἁψάμενοι πῦρ,
Ἕλκετ' ἐς ἀθανάτους σκοτίον κευθμῶνα λιπούσας.
Ὕμνων ἀρρήτοισι καθηραμένας τελετῇσι.
Κλῦτε σαωτῆρες μεγάλοι, ζαθέων δ' ἀπὸ βίβλων.
Νεύσατ' ἐμοὶ φάος ἁγνὸν ἀποσκεδάσαντες ὀμίχλην,
Ὄφρα κεν εὖ γνοίην θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα.
μηδέ με ληθαίοις ὑπὸ κύμασιν οὐλοὰ ῥέζων,
Δαίμων αἰὲν ἔχοι μακάρων ἀπάνευθεν ἐόντα.
μὴ κρυερῆς γενέθλης ἐνὶ κύμασι πεπτωκυῖαν
Ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι
ποινὴ τὶς κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
Ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος, ἡγεμονῆες
Κέκλυτ' ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν

Αστροδινήτοις ὑπὸ νήμασιν ὖλοον ἄμμιν
Ερχεται, αὐτὸς ἔρυκε τεῇ μεγάλῃ τοδὲ ῥιπῇ.

Εἰς ἀφροδίτην.

Μνέομεν σειρὴν πολυώνυμον ἀφρογενείης
ὑ καὶ πηγὴν μεγάλην βασιλήιον, ἧς ἄπο
πάντες.
Αθάνατοι πτερόεντες ἀνεβλάστησαν ἔρωτες.
Ων οἱ μὲν, νοεροῖσιν ὀιςεύουσι βελέμνοις,
ψυχὰς, ὄφρα πόθων ἀναγώγια κέντρα λαχοῦσαι,
Μητρὸς ἱμείρωσιν ἰδεῖν πυριφεγγέας αὐλάς.
Οἱ δὲ, πατρὸς βουλῆσιν ἀλεξικάκοις τε προνοίαις,
Ιέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν,
ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.
Αλλοι δ' ἐγγαμίων ὀάρων πολυδέας οἴμους
αἰὲν ἐποπτεύουσιν, ὅπως θνητῆς ἀπὸ φύτλης,
Αθάνατον τεύξωσι δυηπαθέων γένος ἀνδρῶν.
πᾶσιν δ' ἔργα μέμηλεν, ἐρωτοτόκου κυθερείης.
Αλλὰ θεὰ, πάντῃ γὰρ ἔχεις ἀρίηκοον οὖας.
εἴτε περισφίγγεις μέγαν οὐρανὸν, ἔνθα σε φασὶν
ψυχὴν ἀενάου πέμπειν κόσμοιο θεείην,
εἴτε καὶ ἑπτὰ κύκλων ὑπὲρ ἄντυγας αἰθερίους,
σειραῖς ἡμετέραις δυνάμεις προχέουσ' ἀδαμάστους,
Κέκλυθι, καὶ πολύμοχθον ἐμὴν βιότοιο πορείην,
Ιθύνοις, σέο πότνα δικαιοτάτοισι βελέμνοις.
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.

Εἰς τὰς μούσας.

Μνέομεν μερόπων ἀναγώγιον ὑμνέομ. φῶς
ὑ Εννέα θυγατέρας μεγάλου διὸς ἀγλαοφώ-
νους.

εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
Σῆς δ' ἄπο μειλιχόδωρος ἀλεξικάκου θιασείης,
Παιήων βλάστησεν, ἑὴν δ' ἐπέτασσεν ὑγείην.
πλήσας ἁρμονίης παναπήμονος εὐρέα κόσμον.
σὲ κλυτὸν ὑμνείουσι Διωνύσοιο τοκῆα.
Ὕλης δ' αὖ νεάτοις ἐνὶ βένθεσιν εὔιον Ἄττην,
Ἄλλοι δ' ἁβρὸν Ἄδωνιν ἐπευφήμισαν ἀοιδαῖς.
Δειμαίνουσι δὲ σεῖο θοῆς μάστιγος ἀπειλὴν.
Δαίμονες ἀνθρώπων δηλήμονες ἀγριόθυμοι.
Ψυχαῖς ἡμετέραις δυεραῖς κακὰ προσιώοντες.
Ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο,
Σώματος ὀτλεύωσιν ὑπὸ ζυγόδεσμα ποθοῦσαι.
Ὑψιτενοῦς δὲ λάθοιντο πατρὸς πολυφεγγέος αὐλῆς,
Ἀλλὰ θεῶν ἄριστε, πυριστεφὲς, ὄλβιε δαῖμον.
εἰκὼν παγγενέταο θεοῦ ψυχῶν ἀναγωγεῦ.
Κέκλυθι, καί με καθηρὸν ἁμαρτάδος αἰὲν ἁπάσης.
δέχνυσο δ' ἱκεσίην πολυδάκρυον. ἐκ δὲ μελυγρῶν
Ῥύεο κηλίδων, ποινῶν δ' ἀπάνευθε φυλάσσοις.
Πρηΰνων θοὸν ὄμμα δίκης, ἣ πάντα δέδορκεν.
αἰεὶ δ' ὑμετέραισιν ἀλεξικάκοισιν ἀρωγαῖς,
Ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις.
Ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον.
Σώματι δ' ἀρτεμίην τε, καὶ ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ' ἐπίβησον ἐμὲ, προγόνων τ' ἐνὶ θεσμοῖς
μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
Ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς.
εἴκε θέλεις δὸς ἄναξ, δύνασαι δὲ ἅπαντα τελέσσαι
Ῥηιδίως, κρατερὴν γὰρ ἔχεις, καὶ ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις,

ΠΡΟΚΛΟΥ ΛΙΚΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ὕμνοι.

Εἰς τὸν ἥλιον.

Λῦθι πυρὸς νοεροῦ βασιλεῦ χρυσήνιε Τιτάν.
× Κλῦθι φάους ταμία, ζωαρκέος ὦ ἄνα πηγῆς
αὐτὸς ἔχων κληῖδα, καὶ ὑλαίοις ἐνὶ κόσμοις.
ὑψόθεν ἁρμονίης ῥῦμα πλούσιον ἐξοχετεύων.
Κέκλυθι, μεσατίην γὰρ ὑπὲρ αἰθέρος ἕδρην,
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον,
Πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
Ζωσάμενοι δὲ πλανῆτες ἀειθαλέας σέο πυρσοὺς,
αἰὲν ὑπ' ἀλλήκτοισι, καὶ ἀκαμάτοισι χορείαις,
Ζωογόνους πέμπουσιν ἐπιχθονίοις ῥαθάμιγγας.
πᾶσα δ' ὑφ' ὑμετέρῃσι παλιννόστοισι διφρείαις,
Ὡράων κατὰ θεσμὸν, ἀνεβλάστησε γενέθλη.
στοιχείων δ' ὀρυμαγδὸς ἐπ' ἀλλήλοισιν ἰόντων,
Παύσατο σεῖο φανέντος, ἀπ' ἀρρήτου γενετῆρος.
σοί δ' ὑπὸ μοιράων χορὸς εἴκαθεν ἀστυφέλικτος.
ἂψ δὲ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτε θέλεις, πέλε γὰρ κρατέεις, πέλε δ' ἶφι ἀνάσσεις,
Σειρῆς δ' ὑμετέρης βασιλεὺς θεοπειθέος οἴμης
ἐξέθορεν φοῖβος, κιθάρῃ δ' ὑπὸ θέσκελα μέλπων,

Θανάτου θυμίαμα, μάνναν.

Λῦθί μου, ὃς πάντων θνητῶν οἴακα κρατύ-
κ νεις.
πᾶσι διδοὺς χρόνον ἁγνὸν, ὅσων πόρρωθεν
ὑπάρχεις.
σὸς γὰρ ὕπνος ψυχὴν θραύει καὶ σώματος ὁλκὸν.
Ηνίκ' ἂν ἐκλύῃς φύσεως κεκρατημένα δεσμὰ.
τὸν μακρὸν ζωοῖσι φέρων αἰώνιον ὕπνον.
Κοινὸς μὲν πάντων. ἄδικος δ' ἐνίοισιν ὑπάρχων.
ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς.
ἐν σοὶ γὰρ μούνῳ πάντων τὸ κριθὲν τελεῦται.
οὔτε γὰρ εὐχαῖς σὸν πείθει μένος, οὔτε λιταῖσιν.
Αλλὰ μάκαρ, μακροῖσι χρόνοις ζωῆς γε πελάζειν,
αἰτοῦμαι θυσίαις καὶ εὐχωλαῖς λιτανεύων.
Ως ἂν ἔοι γέρας ἐσθλὸν ἐν ἀνθρώποισι γῆρας.

καὶ πάντων ζώων, ὁπόσα τρέφει εὐρεῖα χθών.
πάντων γὰρ κρατέεις μοῦνος, καὶ πᾶσι προσέρχῃ.
σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσι.
λυσιμέριμνε κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν.
καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων.
καὶ θανάτου μελέτην ἐπάγεις, ψυχὰς διασώζων.
αὐτοκασίγνητος γὰρ ἔφυς λήθης θανάτου τε.
ἀλλὰ μάκαρ λίτομαί σε κεκραμένον ἡδὺν ἱκάνειν.
σώζοντ' εὐμενέως μύστας θείοισιν ἐπ' ἔργοις

Ὀνείρου θυμίαμα, ἀρώματα.

Κικλήσκω σε μάκαρ τανυσίπτερε οὖλε ὄνειρε.
Ἄγγελε μελλόντων, θνητοῖς χρησμῳδὲ μέγιστε,
Ἡσυχίᾳ γὰρ ὕπνου γλυκεροῦ σιγηλὸς ἐπελθών.
προσφωνῶν ψυχαῖς θνητῶν, νόον αὐτὸς ἐγείρεις.
καὶ γνώμας μακάρων αὐτὸς καθ' ὕπνους ἐποπέμπεις
Σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφωνῶν.
οἷσιν ἐπ' εὐσεβίῃσι θεῶν, νόος ἐσθλὸς ὁδεύει.
Ὡς αὖ ἀεὶ τὸ καλὸν μᾶλλον γνώμῃσι προληφθέν,
τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων προχαρέντων.
τῶν δὲ κακῶν ἀνάπαυλαν, ὅπως θεὸς αὐτὸς ἐνίσπῃ.
εὐχωλαῖς θυσίαις τε, χόλον λύσωσιν ἀνάκτων,
εὐσεβέσιν γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι.
τοῖς δὲ κακοῖς οὐδὲν φαίνει μέλλουσαν ἀνάγκην,
Ὄψις ὀνειρήεσσα κακῶν ἐξάγγελος ἔργων.
Ὄφρα αὖ εὕρονται λύσιν ἄλγος ἐρχομένοιο.
Ἀλλὰ μάκαρ λίτομαί σε θεῶν μηνύματα φράζειν.
Ὡς αὖ ἀεὶ γνώμαις ὀρθαῖς κατὰ πάντα πελάζῃς.
μηδὲν ἐπ' ἀλλοκότοισι, κακῶν σημεῖα προφαίνων.

Ελθοις σὺν νεφέλαις νοτίαις, ὄμβροιο γενάρχα.
τοῦτο γὰρ ἐκ διός ἐστι σέθεν γέρας ἠερόφοιτον.
Ομβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν,
τοιγάρτοι λιτόμεσθα μάκαρ ἱεροῖσι χαρέντα,
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Ωκεανοῦ θυμίαμα ἀρώματα.

ὠ Κεανὸν καλέω πατέρ' ἄφθιτον αἰὲν ἐόν-
τα.
Αθανάτων τε θεῶν γένεσιν, θνητῶν τ' ἀν-
θρώπων.
Ος περικυμαίνει γαίης περιτέρμονα κύκλον.
ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα.
καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναί.
Κλῦθι μάκαρ πολύολβε, θεῶν ἅγνισμα μέγιστον.
τέρμα φίλον γαίης, ἀρχὴ πόλου ὑγροκέλευθε.
ἔλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί.

Εστίας θυμίαμα, ἀρώματα.

ἑ Στία εὐδυνάτοιο κρόνου θύγατερ βασίλεια.
Η μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο μεγί-
στου.
Τοὺς δὲ σὺ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις.
Θεῖσα ἀειθαλέας πολυόλβους εὔφρονας ἁγνούς.
οἶ καὶ θεῶν μακάρων θνητῶν στήριγμα κραταιόν.
Αἴδιε πολύμορφε ποθεινοτάτη χλοόμορφε.
μειδιόωσα μάκαιρα, τάδ' ἱερὰ δέξο προθύμως.
Ολβον ἐπιπνείουσα, καὶ ἠπιόχειρον ὑγείαν.

Υπνου θυμίαμα, μετὰ μήκωνος.

ὑ Πνε ἄναξ μακάρων πάντων θνητῶν τ' ἀν-
θρώπων.

Η πρώτη κατέδειξε βροτοῖς μαντήιον ἁγνὸν.
δελφικῷ ἐν κευθμῶνι θεμιστεύουσα θεοῖσι.
πυθίῳ ἐν δαπέδῳ. ὅθι πυθὼν ἐμβασίλευεν.
Η καὶ φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξε.
Πάντι με ἀγλαόμορφε, σεβάσμιε, νυκτιπόλευτε.
πρώτη γὰρ τελετὰς ἁγίας θνητοῖς ἀνέφηνας.
Βακχιακὰς ἀνὰ νύκτας ἐπευάζουσα ἄνακτα.
Εκ σέο γὰρ τιμαὶ μακάρων, μυστήριά θ' ἁγνά.
Αλλὰ μάκαιρ' ἔλθοις κεχαρημένη εὔφρονι βουλῇ
εὐιέρους ἐπὶ μυστιπόλους τελετὰς σέο κούρη.

Βορέου θυμίαμα, λίβανον.

χ Ειμερίοις αὔραισι δονῶν βαθὺν ἠέρα κόσμου.
Κρυμοπαγὴς βορέα χιονώδεος ἔλθ' ἀπὸ θράκης.
Λῦε τε παννέφελον στάσιν ἠέρος ὑγροκελεύθου.
Ριπίζων ἐκμάσιν νοτεραῖς ὀμβρηγενὲς ὕδωρ.
αἴθρια πάντα τιθεὶς, θαλερόμματον αἰθέρα τεύχων

Ζεφύρου θυμίαμα, λίβανον.

Υραι ποντογενεῖς, ζεφυρίτιδες, ἠεροφοῖται
α Ηδύπνοοι, ψιθυραὶ, καμάτου ἀνάπαυσιν ἔχουσαι.
εἰαριναὶ, λειμωνιάδες, πεποθημέναι ὅρμοις.
σύρουσαι ναυσὶ τρυφερὸν πόρον ἠέρα κοῦφον.
Ελθοιτ' εὐμενέουσαι ἐπιπνείουσαι ἀμεμφεῖς.
Ηέριαι, ἀφανεῖς, κουφόπτεροι, ἀέμορφοι.

Νότου θυμίαμα, λίβανον.

λ Αιψηρὸν πήδημα δι' ἠέρος ὑγροπόρευτον
Ωκείαις πτερύγεσι δονούμενε ἔνθα καὶ ἔνθα.

Η μούσας τεκνοῦσ' ἱερὰς ὁσίας λιγυφώνους.
Εκτὸς ἐοῦσα κακῆς μνήμης βλαψίφρονος αἰεί.
Πάντα νόον συνέχουσα βροτῶν ψυχαῖσι συνοίκον.
Εὐδύνατον κρατερὸν, θνητῶν αὔξουσα λογισμόν.
Ηδυτάτη, φιλάγρυπνος, ὑπομνήσκουσα δὲ πάντα,
Ων ἂν ἕκαστος ἀεὶ στέρνοις γνώμην κατάθηται.
Οὔτι παρεκβαίνουσ' ἐπεγείρουσα φρένα πᾶσιν.
Αλλὰ μάκαιρα θεὰ μύσταις μνήμην ἐπέγειρε,
Εὐιέρου τελετῆς, λήθην δ' ἀπὸ τῶν ἀπόπεμπε.

Ηοῦς θυμίαμα, μάνναν.

Λῦθι θεὰ θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα.
Ηὼς λαμπροφαὴς ἐρυθαινομένη κατὰ κόσμον.
Αγγελίεια θεοῦ τιτᾶνος ἀγαυοῦ μεγάλοιο.
Νυκτὸς ζοφερήν τε κελαινόχρωτα πορείαν.
ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης.
Εργων ἡγήτειρα βίου, πρόπολε θνητοῖσιν.
Η χαίρει θνητῶν μερόπων γένος, οὐδέ τις ἐστὶν,
Ος φεύγει τὴν σὴν ὄψιν καθυπέρτερον οὖσαν.
Ηνίκα τὸν γλυκὺν ὕπνον ἀπὸ βλεφάρων ἀποσείσῃς
πᾶς δὲ βροτὸς γήθει, πᾶν ἑρπετὸν, ἄλλα τε φῦλα.
τετραπόδων πτηνῶν τε καὶ εἰναλίων πολυεθνῶν.
Πάντα γὰρ ἐργάσιμον βίοτον θνητοῖσι πορίζεις.
Αλλὰ μάκαιρ' ἁγνὴ, μύσταις ἱερὸν φάος αὔξοις.

Θέμιδος θυμίαμα, λίβανον.

Ρανόπαι δ' ἁγνὴν καλέω θέμιν εὐπατέρειαν.
Γαίης τὸ βλάστημα νέον καλυκώπιδα κούρην.

Παλαίμονος θυμίαμα, μάνναν.

σ Υντροφε βάκχε χοροῖο διωνύσου πολυγηθοῦς.
Ος ναίεις πόντοιο βυθοὺς βαθυκύμονας ἀγνούς.
Κικλήσκω σε παλαῖμον ἐπ' εὐιέροις τελεταῖσιν.
Ελθεῖν εὐμενέοντα, νέω γήθοντα προσώπω.
καὶ σώζειν μύστας κατά τε χθόνα καὶ κατὰ πόντον.
ποντοπλάνοις γὰρ ἀεὶ ναυσὶν χειμῶνος ἐπαρωγὸς.
φαινόμενος σωτὴρ, μούνοις θνητοῖς ἀναφαίνη.
Ρυόμενος μῆνιν χαλεπὴν κατὰ πόντιον οἶδμα.

Μουσῶν θυμίαμα, λίβανον.

μ Νημοσύνης καὶ ζηνὸς ἐριγδούποιο θύγατρες.
μοῦσαι πιερίδες μεγαλώνυμοι, ἀγλαόφημοι.
Θνητοῖς οἷς κε παρῆτε ποθεινόταται πολύμορφοι.
Ράσην παιδείης ἀρετὴν γεννῶσαι ἄμεμπτον.
Θρέπτειραι ψυχῆς, διανοίας ὀρθοδότειραι.
καὶ νοῦ εὐδυνάτοιο καθηγήτειραι ἄνασσαι.
αἳ τελετὰς θνητοῖς ἀνεδείξατε μυστοπολεύτους.
Κλειώτ', εὐτέρπη τε, θάλειά τε, μελπομένη τε,
τερψιχόρη τ', ἐρατώ τε, πολύμνιά τ', οὐρανίη τε,
καλλιόπη σὺν μητρὶ, καὶ εὐδυνάτη θεᾷ ἁγνῇ.
Αλλὰ μόλοιτε θεαὶ μύσταις πολυποίκιλοι ἁγναί.
εὔκλειαν ζῆλόν τ' ἐρατὸν πολύυμνον ἄγουσαι.

Μνημοσύνης θυμίαμα, λίβανον.

μ Νημοσύνην καλέω ζηνὸς σύλλεκτρον ἄνασσαν.

οἷς δὲ κακὴν πενίην θυμῷ χόλον ὁρμαίνουσα.
Ἀλλὰ θεὰ, λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν.
Ὄλβοισιν πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν.

Δαίμονος θυμίαμα λίβανον.

δ Αίμονα κικλήσκω μεγάλαν ἡγήτορα φρικτόν.
Μειλίχιον Δία, παγγενέτην, βιοδώτορα θνητῶν.
ζῆνα μέγαν πολύπλαγκτον, ἀλάστορα παμβασιλῆα
πλουτοδότην, ὁπόταν γε βρυάζων οἶκον ἐσέλθῃ.
Ἔμπαλι δὲ ψύχοντα βίον θνητῶν πολυμόχθων.
ἐν σοὶ γὰρ λύπης τε χαρᾶς κληῖδες ὀχοῦνται.
τοιγάρτοι μάκαρ ἁγνὲ πολύστορα κήδε' ἐλάσας,
Ὅσσα βιοφθορίην πέμπει κατὰ γαῖαν ἅπασαν,
Ἔνδοξον βιοτῆς γλυκερὸν τέλος ἐσθλὸν ὀπάζοις.

Λευκοθέας θυμίαμα, ἀρώματα.

λ Ευκοθέαν καλέω καδμηίδα δαίμονα σεμνήν.
εὐδύνατον, θρέπτειραν, ἐϋστεφάνου διονύσου.
Κλῦθι θεὰ πόντοιο βαθυστέρνου μεδέουσα.
Κύμασι τερπομένη θνητῶν σώτειρα μεγίστη.
ἐν σοὶ γὰρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμή.
μούνη δὲ θνητῶν οἰκτρὸν μόρον εἰν ἁλὶ λύεις.
οἷς ἂν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθοις.
Ἀλλὰ θεὰ δέσποινα, μόλοις ἐπαρωγὸς ἐοῦσα,
Νηυσὶν ἐπ' εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ.
Νύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

Αἴδιοι φοβερῶπες· ἀπόςροφοι· αὐλοκράτειραι·
Λυσιμελεῖς οἴςρῳ βλοσυραὶ νύχιαι, πολύποτμοι.
Νυκτέριαι κοῦραι ὀφιοπλόκαμοι, φοβερῶπες·
Ὑμᾶς κικλήσκω γνώμαις ὁσίαισι πελάσειν·

Μηλινόης θυμίαμα ἀρώματα·

Μηλινόην καλέω νύμφην χθονίαν κροκό-
μ πεπλον.
Ἣν παρὰ κωκυτοῦ προχοαῖς ἐλοχεύσατο
σεμνὴ
φερσεφόνη, λέκτροις ἱεροῖς ζηνὸς κρονίοιο.
Ἧ ψευσθεὶς πλούτων ἐμίγη δολίαις ἀπάταις·
Θυμῷ φερσεφόνης, δὲ δισώματον ἔσπασε χροιήν·
Ἣ θνητοὺς μαίνει φαντάσμασιν ἠερίοισιν·
Ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφαίνουσα·
Ἄλλοτε μὲν προφανὴς ποτὲ δὲ σκοτόεσσα νυχαυγής·
ἀνταίαις ἐφόδοισι κατὰ ζοφοειδέα νύκτα·
Ἀλλὰ θεὰ λίτομαί σε καταχθονίων βασίλεια·
Ψυχῆς ἐκπέμπειν οἶςρον ἐπὶ τέρματα γαίης·
Εὐμενὲς εὐίερον μύςαις φαίνουσα πρόσωπον.

Τύχης θυμίαμα, λίβανον.

Εὖρο τύχη, καλέω σ' ἀγαθὴν κράντειραν
δ ἐπ' εὐχαῖς,
Μειλιχίαν ἐνοδῖτιν ἐπ' εὐόλβοις κτεάτεσ-
σιν.
Ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον εὐβουλῆος·
αἵματος ἐκ γεγαῶσαν, ἀπρόσμαχον εὖχος ἔχουσαν
τυμβιδίαν, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποισιν
ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστιν.
Οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον.

Εὐμενίδων θυμίαμα, ἀρώματα.

Λῦτε θεαὶ πάντιμοι, ἐρίβρομοι εὐράστει-

κ ραι.

τισιφόνη τε, καὶ ἀλληκτὼ, καὶ δῖα μέγαι-
ρα.

Νυκτέριαι, μύχιαι, ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι.
ἄντρῳ ἐν ἠερόεντι παρὰ στυγὸς ἱερὸν ὕδωρ
οὐχ ὁσίαις βουλαῖσι βροτῶν πεποτημέναι αἰεί.
Λυσσήρεις, ἀγέρωχοι, ἐπανάζουσαι ἀνάγκαις.
Θηρόπεπλοι, τιμωροὶ, ἐρισθενέες· βαρυαλγεῖς.
Αἴδεο χθόνιαι, φοβεραὶ κόραι αἰολόμορφοι.
Ηέριαι, ἀφανεῖς, ὠκύδρομοι τ', ὥς τε νόημα.
οὔτε γὰρ ἠελίου ταχιναὶ φλόγες, οὔτε σελήνης,
καὶ σοφίας ἀρετῆς τε, καὶ ἐργασίμου θρασύτητος,
εὔχαρι, οὔτε βίου λιπαρᾶς τοῦ καλλέος ἥβης,
Υμῶν χωρὶς ἐγείρει εὐφροσύνας βιότοιο.
ἀλλ' αἰεὶ θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα,
Ομμα δίκης ἐφορᾶτε δικασπόλοι αἰὲν ἐοῦσαι.
Αλλὰ θεαὶ μοῖραι, ὀφιοπλόκαμοι, πολύμορφοι,
πραΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.

Εὐμενίδων θυμίαμα, ἀρώματα.

Λῦτέ μου εὐμενίδες μεγαλώνυμοι εὔφρονι

κ βουλῇ.

Αγναὶ θυγατέρες μεγάλοιο διὸς χθονίοιο.
φερσεφόνης τ' ἐρατῆς κούρης καλλιπλοκάμοιο.
Η πάντων καθορᾶ βίοτον θνητῶν ἀσεβούντων.
τῶν ἀδίκων τιμωροὶ ἐφεστηκυῖαι ἀνάγκῃ.
Κυανόχρωτοι ἄνασσαι ἀπαστράπτουσαι ἀπ' ὄσσων,
Δεινὴν αὐταυγῆ φάεος σαρκοφθόρον αἴγλην.

Ἀσκληπιοῦ θυμίαμα, μάνναν.

Κτὴρ πάντων ἀσκληπιὲ, δέσποτα
ἰ παιάν.
Θέλγως ἀνθρώπων πολυαλγέα πήματα νούσων,
Ἠπιόδωρε κραταιὲ μόλοις κατάγων καὶ ὑγείαν.
καὶ παύων νούσων χαλεπὰς κῆρας θανάτοιο.
αὐξιθαλὴς κόρε, ἀπαλεξίκακ' ὀλβιόμοιρε.
Φοίβου ἀπόλλωνος κρατερὸν θάλος, ἀγλαότιμον.
Ἐχθρὲ νόσων, ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ.
Ἐλθὲ μάκαρ σωτὴρ, βιοτῆς τέλος ἐσθλὸν ὀπάζων.

Ὑγείας θυμίαμα, μάνναν.

Μερόεσσ', ἐρατὴ, πολυθάλμιε, παμβασίλεια.
ἱ Κλῦθι μάκαιρ' ὑγίεια, φερόλβιε, μῆτερ ἁπάντων.
Ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι.
πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο
καὶ τέχναι βρίθουσι, ποθεῖ δέ σε κόσμος ἄνασσα.
μοῦνος δὲ στυγέει σ' ἀΐδης ψυχοφθόρος αἰεί.
Ἀειθαλὴς, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα.
σοῦ γὰρ ἄτερ, πάντ' ἐστὶν ἀνωφελῆ ἀνθρώποισιν.
Οὔτε γὰρ ὀλβοδότης πλοῦτος γλυκερὸς θαλίῃσιν,
Οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίνεται ἀνήρ.
Πάντων γὰρ κρατέεις μούνη, καὶ πᾶσιν ἀνάσσεις.
Ἀλλὰ θεὰ μόλε μυστιπόλοις, ἐπιτάρροθος αἰεί.
Ῥυομένη νούσων χαλεπῶν, κακόποτμον ἀνίην.

Ἄρεος θυμίαμα, λίβανον.

Ἄρρηκτ᾽ ὀβριμόθυμε, μεγασθενές, ἄλκιμε δαῖμον.
Ὁπλοχαρὴς, ἀδάμαστε, βροτοκτόνε, τειχεσιπλῆτα
Ἄρες ἄναξ, δολόδουπε, φόνοις πεπαλαγμένος αἰεί,
αἵματι ἀνδροφόνῳ χαίρων, πολεμόκλονε φρικτέ.
Ὃς ποθέεις ξίφεσίν τε, καὶ ἔγχεσι δῆριν ἄμουσον.
στῆσον ἔριν λυσσῶσαν, ἄνες δὲ πόνον ψυχαλγῆ·
εἰς δὲ πόθον νεῦσον κύπριδος, κώμους τε λυαίους.
Ἀλλάξας ἀλκὴν ὅπλων, εἰς ἔργα τὰ δηοῦς.
εἰρήνην ποθέων κουροτρόφον, ὀλβιοδῶτιν.

Ἡφαίστου θυμίαμα, λιβανομάνναν.

Ἥφαιστ᾽ ὀβριμόθυμε, μεγασθενὲς, ἀκάματον πῦρ,
Λαμπόμενε φλογέαις αὔραις φαεσίμβροτε δαῖμον.
Φωσφόρε, κρατερόχειρ, αἰώνιε, τεχνοδίαιτε.
Ἐργαστὴρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφές.
Παμφάγε, πανδαμάτωρ, πανυπέρτατε, παντοδίαιτε
αἰθὴρ, ἥλιος, ἄστρα, σελήνη, φῶς ἀμίαντον.
Ταῦτα γὰρ ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
Πάντα δὲ οἶκον ἔχεις πᾶσαν πόλιν, ἔθνεα πάντα.
σώματά τε θνητῶν οἰκεῖς πολύολβε, κραταιέ.
Κλῦθι μάκαρ, κλήζω πρὸς εὐιερὰς ἤδε λοιβάς.
αἰεὶ ὅπως χαίρουσιν ἐπ᾽ ἔργοις ἥμερος ἔλθοις.
παῦσον λυσσῶσαν μανίαν πυρὸς ἀκαμάτοιο.
Καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

Η καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις.
Αθραυστος τὸ συνειδὸς, ἀεὶ θραύεις γὰρ ἅπαντας
Οσσοι μὴ τὸ σὸν ἦλθον ὑπὸ ζυγὸν, ἀλλ' ὑπὲρ αὐτοῦ
Πλάστιγξι βριαραῖσι παρεγκλίναντες ἀπλήστως.
Αστασίας τε, φίλη πάντων φιλόκωμ' ἐρατεινή.
Εἰρήνη χαίρουσα, βίον ζηλοῦσα βέβαιον,
αἰεὶ γὰρ τὸ πλέον στυγέεις, ἰσότητι δὲ χαίρεις.
ἐν σοὶ γὰρ σοφίης ἀρετῆς τέλος ὄλλον ἱκάνει.
Κλῦθι θεὰ, κακίην θνητῶν θραύουσα δικαίως,
Ως ἂν ἰσορροπίῃσιν ἀεὶ βίος ἐσθλὸς ὁδεύοι,
Θνητῶν ἀνθρώπων, οἳ ἀρούρης καρπὸν ἔδουσι
καὶ ζώων πάντων, ὁπόσ' ἐν κόλποισι τιθηνεῖ.
Γαῖα θεὰ μήτηρ, καὶ πόντιος εἰνάλιος Ζεύς.

Υμνος νόμου.

Θανάτων καλέω καὶ θνητῶν ἁγνὸν ἄ-
ἀ νακτα.
Ουράνιον νόμον, ἀστροθέτην, σφραγῖδα δι-
καίαν.
πόντου τ' εἰναλίου, καὶ γῆς, φύσεως τὸ βέβαιον.
Ακλινῆ, ἀστασίαστον, ἀεὶ τηροῦντα νόμοισιν.
οἷσιν ἄνωθε φέρων μέγαν οὐρανὸν αὐτὸς ὁδεύει.
καὶ φθόνον οὐ δίκαιον ῥοίζου τρόπον αὐτὸς ἐλαύνει.
Ος καὶ θνητοῖσιν βιοτῆς τέλος ἐσθλὸν ἐγείρει.
αὐτὸς γὰρ μοῦνος ζώων οἴακα κρατύνει.
γνώμαις ὀρθοτάταισι συνὼν ἀδιάστροφος αἰεί.
Ωγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι συνοικῶν
Τοῖς νομίμοις, ἀνόμοις δὲ φέρων κακότητα βαρεῖαν
Αλλὰ μάκαρ πάντιμε, φερόλβιε πᾶσι ποθεινέ.
Εὐμενὲς ἦτορ ἔχων μνήμην σέο πέμπε φέριστε.

Αἰδοία, πολύυμνε, μόνη χαίρουσα δικαίοις·
Ἀλλάσσουσα λόγον πολυποίκιλον, ἄστατον, αἰεί·
Ἣν πάντες δεδίασι βροτοὶ, ζυγὸν αὐχένι θέντες.
σοὶ γὰρ ἀεὶ γνώμη πάντων μέλει, οὐδέ σε λήθει
ψυχὴ ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ·
Πάντ' ἐσορᾷς καὶ πάντ' ἐπακούεις καὶ πάντα βραβεύεις
ἐν σοὶ δ' εἰσὶ δίκαι θνητῶν πανυπέρτατε δαῖμον.
Ἐλθὲ μάκαιρ' ἁγνὴ μύσταις ἐπιτάρροθος αἰεί.
Δός δ' ἀγαθὴν διάνοιαν ἔχειν, παύουσα πανεχθεῖς
γνώμας, οὐχ ὁσίας, πανυπέρφρονας, ἀλλιπροπέτας.

Δίκης θυμίαμα, λίβανον.

Μμα δίκης μέλπω πανδερκέος ἀγλαομόρφου.
ὄ
Ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει.
Οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων.
τοῖς ἀδίκοις τιμωρὸς ἐπιβρίθουσα δίκαια.
ἐξ ἰσότητος ἀληθείας συνάγουσ' ἀνομοῖα.
πάντα γὰρ ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
Δύσκριτα βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι,
Μούνη ἐπεμβαίνουσα δίκην ἀδίκοις ἐπεγείρεις.
Ἐχθρὰ τῶν ἀδίκων, εὔφρων δὲ συνέασι δικαίοις.
Ἀλλὰ θεὰ μόλ' ἐπὶ γνώμαις ἐσθλαῖσι δικαία.
Ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπέλθοι.

Δικαιοσύνης θυμίαμα, λίβανον.

Θνητοῖσι δικαιοπάτη πολύολβε ποθεινή.
ᾶ ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσι δικαίοις.
Πάντιμε, ὀλβιόμοιρε, δικαιοσύνη μεγαλαυχής.

ςείχετε πορφυρέοισι καλυψάμεναι ὀθόνῃσι.
Μορσίμων ἐν πεδίῳ, ὅθι πάγκεον ἅρμα διώκει
δόξα, δίκης παρὰ τέρμα, καὶ ἐλπίδος, ἠδὲ μεριμνῶν·
καὶ νόμου ὠγυγίου καὶ ἀπείρονος εὐνόμου ἀρχῆς.
Μοῖρα γὰρ ἐν βιότῳ καθορᾷ μόνον, οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου·
καὶ διὸς ὄμμα τέλειον, ἐπεί γ᾽ ὅσα γίγνεται ἡμῖν,
Μοῖρα τε, καὶ διὸς οἶδε νόος διαπαντὸς ἅπαντα,
Ἀλλά μοι νυκτέριοι μαλακόφρονες, ἠπιόθυμοι;
Ἄτροπε, καὶ λάχεσι, κλωθώ, μόλετ᾽, εὐπατέρειαι.
Ἀέριοι ἀφανεῖς, ἀμετάτροποι, αἰὲν ἀτειρεῖς.
Παντοδότειραι, ἀφαιρέτιδες θνητοῖσιν ἀνάγκη.
Μοῖραι ἀκούσατ᾽ ἐμῶν ὁσίων, λοιβῶν τε, καὶ εὐχῆς.
Ἐρχόμεναι μύσταις λυσιπήμονες εὔφρονι βουλῇ.
Μοιράων τέλος ἔλλ᾽ ἀοιδή, ἣν ὕφαιν᾽ ὀρφεύς.

Χαρίτων θυμίαμα, στύρακα.

κ Κλῦτέ μοι ὦ χάριτες μεγαλώνυμοι, ἀγλαότιμοι.
Θυγατέρες ζηνός τε· καὶ εὐνομίης βαθυκόλπου.
Ἀγλαΐη τε, θάλεια, καὶ εὐφροσύνη πολύολβε.
χαρμοσύνης γενέτειραι, ἐράσμιαι, εὔφροσύν᾽ ἁγναί.
αἰολόμορφοι, ἀειθαλέες, θνητοῖσι ποθειναί.
εὐκταῖαι, κυκλάδες, καλυκώπιδες ἱμερόεσσαι.
Ἔλθοιτ᾽ ὀλβοδότειραι, ἀεὶ μύσταισι προσηνεῖς.

Νεμέσεως ὕμνος.

ω Νέμεσι, κλήζω σε θεὰ βασίλεια μεγίστη.
Πανδερκής, ἐσορῶσα βίον θνητῶν πολυφύλων.

αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων,
ἃς κατάγεις, ὁπόταν μοίρης χρόνος εἰσαφίκηται.
εὔιέρῳ ῥάβδῳ θέλγων ὑπνοδώτερ ἅπαντα.
καὶ πάλιν ὑπνώοντας ἐγείρεις· σοὶ γὰρ ἔδωκε
τιμὴν φερσεφόνεια θεὰ κατὰ τάρταρον εὐρὺν.
ψυχαῖς ἀενάοις θνητῶν ὁδὸν ἡγεμονεύειν,
ἀλλὰ μάκαρ πέμποις μύσταις τέλος ἐσθλὸν ἐπ' ἔργοις.

Ερωτος θυμίαμα, ἀρώματα.

Κικλήσκω μέγαν, ἁγνὸν, ἐράσμιον, ἡδὺν ἔρωτα.
τοξαλκῆ, πτερόεντα, πυρίδρομον, εὔδρομον ὁρμῇ.
Συμπαίζοντα θεοῖς, ἠδὲ θνητοῖς ἀνθρώποις.
εὐπάλαμον, διφυῆ, πάντων κληῖδας ἔχοντα.
αἰθέρος, οὐρανίου, πόντου, χθονὸς, ἠδ' ὅσα θνητοῖς
Πνεύματα παντογένεθλα θεὰ βόσκει χλοόκαρπος
Ηδ' ὅσα τάρταρος εὐρὺς ἔχει, πόντος θ' ἁλίδουπος.
Μοῦνος γὰρ τούτων πάντων οἴακα κρατύνεις.
ἀλλὰ μάκαρ, καθαραῖς γνώμαις μύσταισι συνέρχου.
φαύλους δ' ἐκτοπίους θ' ὁρμὰς ἀπὸ τῶν δ' ἀπόπεμπε.

Μοιρῶν θυμίαμα ἀρώματα.

Οἶραι ἀπειρέσιοι, νυκτὸς φίλα τέκνα μελαίνης.
Κλῦτέ μου εὐχομένου πολυώνυμοι αἵ τ' ἐπὶ λίμνης
Οὐρανίας, ἵνα λευκὸν ὕδωρ νυχίας ὑπὸ θερμῆς
Ρήγνυται, ἐν σκιερῷ λιπαρῷ μυχῷ εὐλίθῳ ἄντρῳ
Ναίουσαι, πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν.
Ενθεν ἐπὶ βρότεον δόκιμον γένος ἐλπίδι κοῦφον

Θῖνας ἐπ' αἰγιαλοῖς ψαμμώδεσιν ἅρματι κούφῳ.
εἴτ' ἐν κύπρῳ ἄνασσα τροφῷ σέο, ἔνθα καλαί σε
Παρθενικαὶ ἀδμῆται, νύμφαι τ' ἀνὰ πάντ' ἐνιαυτὸν
Υμνοῦσι σε μάκαιρα, καὶ ἄμβροτον ἁγνὸν ἄδωνιν.
Ελθὲ μάκαιρα θεὰ καλ' ἐπήρατον εἶδος ἔχουσα.
ψυχῇ γάρ σε καλῶ σεμνῇ, ἁγίοισι λόγοισιν.

Αδώνιδος θυμίαμα, ἀρώματα.

κ Λῦθί μου εὐχομένου πολυώνυμε δαῖμον ἄριστε.
Αβροκόμη, φιλέρημε, βρύων ᾠδαῖσι ποθειναῖς.
Εὔβουλε, πολύμορφε, τροφὴ πάντων ἀρίδηλε.
Κούρη, καὶ κόρε, σὺ πᾶσιν θάλος αἰὲν ἄδωνι.
Σβεννύμενε, λάμπωντε, καλαῖς ἐν κυκλάσιν ὥραις.
αὐξιθαλὴς, δίκερως, πολυήρατε, δακρυότιμε.
Αγλαόμορφε, κυναγεσίοις χαίρων, βαθυχαῖτα.
Ιμερόνους, κύπριδος γλυκερὸν θάλος, ἔρνος ἔρωτος
Φερσεφόνης ἐρασιπλοκάμου λέχοισι λοχευθείς.
Ος ποτὲ μὲν ναίεις ὑπὸ τάρταρον ἠερόεντα,
Ηδὲ πάλιν πρὸς ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον.
Ελθὲ μάκαρ μύσταισι φέρων καρποὺς ἀπὸ γαίης

Ερμοῦ χθονίου θυμίαμα, στύρακα.

κ Ωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον ἀνάγκης.
Ος ψυχὰς θνητῶν κατάγεις ὑπὸ νέρτερα γαίης.
Ερμῆ βάκχε χοροῖο διονύσοιο γένεθλον,
καὶ παφίης κούρης ἑλικοβλεφάρου ἀφροδίτης.
Ος παρὰ περσεφόνης ἱερὸν δόμον ἀμφιπολεύεις.

Δεῦρ' ἐλθὲ πάνθειον τελετὴν σατύροις ἅμα πᾶσι
Θηροτύπος, δίασμα διδοὺς βακχεῖον ἄνακτος·
Σὺν βάκχαις λῆναῖα, τελεσφόρα, σεμνὰ προπέμπων
Ὀργιανυκτιφαῆ τελεταῖς ἁγίαις ἀναφαίνων. (
Εὐάζων φιλόθυρσε, γαληνιόων θιάσοισιν.

Εἰς ἀφροδίτην ὕμνος.

Οὐρανία πολύυμνε φιλομμειδὴς ἀφροδίτη,
Ποντογενὴς, γενέτειρα θεὰ, φιλοπάννυχε σεμνή.
Νυκτερία, ζεύκτειρα, δολοπλόκε, μῆτερ ἀνάγκης.
Πάντα γὰρ ἐκ σέθεν ἐστὶν, ὑπεζεύξαο δὲ κόσμον,
καὶ κρατέεις τρισσῶν μοιρῶν, γεννᾷς δὲ τὰ πάντα.
Ὅσσα τ' ἐν οὐρανῷ ἐστὶ καὶ ἐν γαίῃ πολυκάρπῳ.
ἐν πόντῳ τε, βυθῷ τε, σεμνὴ βάκχοιο πάρεδρε.
Τερπομένη θαλίαισι, γαμοστόλε, μῆτερ ἐρώτων.
πειθοῖ, λεκτροχαρὴς, κρυφία, χαριδῶτι.
Φαινομένη, τ' ἀφανὴς, ἐρατοπλόκαμ' εὐπατέρεια.
Νυμφιδία σὺν δαιτὶ, θεῶν σκηπτοῦχε λύκαινα.
γεννοδότειρα φίλανδρε, ποθεινοτάτη βιοδῶτι.
Ἡ ζεύξασα βροτοὺς ἀχαλινώτοισιν ἀνάγκαις.
καὶ θηρῶν πολὺ φῦλον ἐρωτομανῶν ἀπὸ φίλτρων.
Ἔρχεο κυπρογενὲς θεῖον γένος, εἴτ' ἐν ὀλύμπῳ.
εἶ σὺ θεὰ βασίλεια, καλῷ γήθουσα προσώπῳ.
εἴτε καὶ ἐν λιβάνου συρίης ἕδος ἀμφιπολεύεις.
εἴτε σύγ' ἐν πεδίοισι σὺν ἅρμασι χρυσεοτεύκτοις.
αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά.
Ἠ καὶ κυανέοις ὄχθοις ἐπὶ πόντιον οἶδμα.
Τερπομένη χαίροις θνητῶν κυκλίαισι χορείαις.
Ἠ νύμφαις τέρπῃ κυανώπισιν ἐν χθονὶ δίᾳ,

Θίνας

Ὄργιον, ἄῤῥητον, τριφυὲς, κρύφιον διὸς ἔρνος.
Πρωτογόν' ἠρίκε, παιὲ, θεῶν πάτερ, ἠδὲ, καὶ υἱέ.
Ὠμάδιε, σκηπτοῦχε, χοροιμανὲς, ἀγέτα κώμων.
Βακχεύων ἁγίας τριετηρίδας, ἀμφὶ γαλήνας.
Ῥηξίχθων, πυριφεγγὲς, ἐπάφιε, κοῦρε διμάτωρ.
Οὐρεσιφοῖτα, κέρως, νεβριδοστόλε ἀμφιετηρέ.
Παιὰν, χρυσεγχὴς, ὑποκόλπιε βοτρυόκοσμε.
Βάσσαρε, κισσοχαρὴς, πολυπάρθενε, καὶ διάκοσμε
Ἐλθὲ μάκαρ μύσταισι βρύων κεχαρημένος αἰεί.

Ἀμφιετοῦς θυμίαμα, πάντα πλὴν λιβάνου.

Ἀμφιετῆ καλέω βάκχον, χθόνιον διόνυσ-
α' σον.
Ἐγρόμενον κούραις ἅμα νύμφαις, εὐπλο-
κάμοις.
Ὃς παρὰ περσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων,
κοιμίζει τριετῆρα χρόνον, βακχήιον ἁγνόν.
αὐτὸς δ' ἡνίκα τὸν τριετῆ πάλι κῶμον ἐγείρεις,
εἰς ὕμνον τρέπεται σὺν εὐζώνοισι τιθήναις.
εὐνάζων κινῶν τε χοροὺς ἐνὶ κυκλάσιν ὥραις.
ἀλλὰ μάκαρ χλοόκαρπε, κερασφόρε, κάρπιμε βάκ
Βαῖν' ἐπὶ πάνθειον τελετὴν γανόωντι προσώπῳ. (χε
εὐιέροις καρποῖσι τελεσιγόνοισι βρυάζων.

Σιληνοῦ σατύρου βακχῶν, θυμίαμα μάνναν.

Κλῦθί μου ὦ πολύσεμνε τροφὲ βάκχοιο τιθηνὲ
κ σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσι.
καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ τριετηρίσιν ὥραις.
Ἁγνοτελὴς, γεραρὸς, θιάσου νομίου τελετάρχα
εὐαστὴς, φιλάγρυπνε, νεάζων σὺν σιληνοῖς.
ναίσι καὶ βάκχοις ἡγούμενε κιττοφόροισιν.

Λύσιε, θυρσομανῆ, βρόμιε, εὔιε, πᾶσιν ἔυφρων.
οἷς ἐθέλεις θνητῶν, ἠδ' ἀθανάτων ἐπιφαύσκων.
Νῦν σε καλῶ μύσταισι μολεῖν, ἡδὺν, φερέκαρπον.

Νυμφῶν θυμίαμα, ἀρώματα.

Υμφαι θυγατέρες μεγαλήτορος ὠκεανοῖο.
ν Υγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι.
Κρυψίδομοι, βάκχοιο τροφοὶ, χθόνιαι πολυγηθεῖς.
καρποφόροι, λειμωνιάδες, σκολιόδρομοι, ἁγναί.
ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠερόφοιτοι.
πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι.
φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολύανθοι.
Σὺν πανὶ σκιρτῶσαι ἀν' οὔρεα, εὐάστειραι.
πετρόρυτοι, λιγυραὶ, κρουνίπεδες, ὑλονόμοιτε.
Παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις.
αἰπολικαὶ, νόμιαι, θηρσὶν φίλαι, ἀγλαόκαρποι.
κρυμοχαρεῖς, ἁπαλαὶ πολυθρέμμονες, αὐξιτρόφοιτε
κοῦραι ἁμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέλευθοι
Νύσιαι, μανικαὶ, παιονίδες, ἠαροτερπεῖς.
Σὺν βάκχω δηοῖτε, χάριν θνητοῖσι φέρουσαι.
Ελθετ' ἐπ' εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ.
νᾶμα χέουσ' ὑγιεινὸν αὐξιτρόφοισιν, ἐν ὥραις.

Τριετηρικοῦ θυμίαμα, ἀρώματα.

κ Ικλήσκω σε μάκαρ, πολυώνυμε, μανικὲ βακχεῦ.
Ταυρόκερως, ληναῖε πυρίσπορε, νύσιε, λυσεῦ.
μηροτρεφὴς, λικνῖτα, πυρίπολε, καὶ τελετάρχα.
νυκτέρ' εὐβουλεῦ μιτρηφόρε, θυρσοτινάκτα.

Σαβαζίου θυμίαμα, ἀρώματα.

κ λῦθι πάτερ κρόνου υἱὲ σαβάζιε, κύδιμε δαῖμον.
Ος βάκχον διόνυσον, ἐρίβρομον, εἰραφιώτην.
μηρῷ ἐγκατέραψας, ὅπως τετελεσμένος ἔλθῃ
Τμῶλον ἐς ἠγάθεον, παρ' ἵππαν καλλιπάρῃον.
ἀλλὰ μάκαρ φρυγίης μεδέων βασιλεῦτα τε πάντων
εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν.

Ιππας θυμίαμα, στύρακα.

Ἴ ππαν κικλήσκω βάκχου τροφὸν, εὐάδε κούρην.
μυστιπόλον, τελεταῖσιν ἀγαλλομένην σάβου ἁγνοῦ
Νυκτερίοισι χοροῖσι, πυριβρεμέτοις ἰάχοισι.
Κλῦθί μου εὐχομένου χθονία μήτηρ βασίλεια.
εἴτε σύγ' ἐν φρυγίῃ κατέχεις ἴδης ὄρος ἁγνὸν.
Η τμῶλος τέρπει σε καλὸν λυδοῖσι θέασμα.
Ερχεο πρὸς τελετὰς ἱερῷ γηθοῦσα προσώπῳ.

Λυσίου ληναίου ὕμνος.

κ λῦθι μάκαρ διὸς υἱ', ἐπιλήνιε, βάκχε διμάτωρ
σπέρμα τεκύμνητον, πολυώνυμε, λύσιε δαῖμον.
Κρυψίγονον μακάρων ἱερὸν θάλος, εὔιε βάκχε.
εὐραφῆ, εὔκαρπε, πολυγηθέα καρπὸν ἀέξων.
Ροχθίζων, ληναῖε, μεγασθενὲς, αἰολόμορφε.
πυνσίπονος θνητοῖσι φανεὶς, ἄκος, ἱερὸν ἄνθος.
χάρμα βροτοῖς φιλάλυπον, ἐπάφιε, καλλιέθειρε.

Ὕμνος διονύσου βασσαρέως τριετηρικοῦ.

ἐ λθὲ μάκαρ διόνυσε, πυρίσπορε, ταυρομέτωπε.
Βάσσαρε, καὶ βακχεῦ, πολυώνυμε, παντοδυνάστα
Ος ξίφεσι χαίρεις, ἠδ' αἵμασι, μαινάσι θ' ἁγναῖς.
εὐάζων κατ' ὄλυμπον, ἐρίβρομε, μανικὲ, βάκχε.
Θυρσεγχὴς, βαρύμηνι, τετιμένε πᾶσι θεοῖσι,
καὶ θνητοῖσι βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν,
Ελθὲ μάκαρ σκιρτητὰ, φέρων πολὺ γῆθος ἅπασι.

Λικνίτου θυμίαμα, μάνναν.

λ ικνίτην διόνυσον ἐπ' εὐχαῖς ταῖς δὲ κικλήσκω.
Νύσιον, ἀμφιθαλῆ, πεποθημένον, εὔφρονα, βάκχον
Νυμφῶν ἔρνος ἐραστὸν, εὐστεφάνου τ' ἀφροδίτης.
Ος ποτ' ἀνὰ δρυμοὺς κεχορευμένα βήματα πάλλει.
Σὺν νύμφαις χαρίεσιν ἐλαυνόμενος μανίησι.
καὶ βουλαῖσι διὸς πρὸς τ' αὐτὴν φερσεφόνειαν.
Αχθεὶς ἐξεφάνης, φόβος ἀθανάτοισι θεοῖσιν.
εὔφρων ἐλθὲ μάκαρ, κεχαρισμένα δ' ἱερὰ δέξαι.

Περικιονίου θυμίαμα ἀρώματα.

κ ικλήσκω βάκχον περικιόνιον, μεθυδώτην.
Καδμείοισι δόμοις, ὃς ἑλισσόμενος περὶ πάντα,
Εστησε κρατερῶς, βρασμοὺς γαίης ἀποπέμψας.
Ηνίκα πυρφόρος αὐγὴ ἐκίνησε χθόνα πᾶσαν,
πρηστῆρος ῥοίζοις· ὁ δ' ἀνέδραμε δεσμὸς ἁπάντων.
Ελθὲ μάκαρ βακχευτὰ γεγηθυίαις πραπίδεσσι.

Ὡρῶν θυμίαμα, ἀρώματα.

ραι θυγατέρες θέμιδος, καὶ ζηνὸς ἄνακ-
ὦ τος.
εὐνομίη τε, δίκη τε, καὶ εἰρήνη πολύολβε.
Ἠαριναὶ, λειμωνιάδες, πολυάνθεμοι, ἁγναὶ
Παντόχροοι, πολύοσμοι, ἐν ἀνθεμοειδέσι πνοιαῖς
Ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι.
Πέπλους ἑννύμεναι δροσεροὺς ἀνθῶν πολυθρέπτων.
Περσεφόνης συμπαίκτορες, ἡνίκα μοῖραι ταύτην
καὶ χάριτες κυκλίοισι χοροῖς πρὸς φῶς ἀνάγωσι.
Ζηνὶ χαριζόμεναι, καὶ μητέρι καρποδοτείρῃ.
Ἔλθετ' ἐπ' εὐφήμους τελετὰς, ὁσίας, νεομύστοις.
Εὐκάρποις χαιρῶν γενέσεις ἐπάγουσαι ἀμεμφῶς.

Σεμέλης θυμίαμα, στύρακα.

Ικλήσκω κούρην καδμηΐδα παμβασί-
κ λειαν.
Εὐειδῆ σεμέλην, ἐρατοπλόκαμον, βαθύ-
κολπον.
Μητέρα θυρσοφόροιο διωνύσου, πολυγηθοῦς,
Ἣ μεγάλας ὠδῖνας ἐλάσατο πυρφόρῳ αὐγῇ.
Ἀθανάτοιο τεκοῦσα διὸς βουλαῖς κρονίοιο.
Τιμὰς τευξαμένη παρ' ἀγαυῆς περσεφονείης,
ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τριετηρίδας ὥρας.
Ἡνίκα σοῦ βάκχου γονίμην ὠδῖνα τελῶσιν,
εὐιερόν τε τράπεζαν, ἰδὲ μυστήριά θ' ἁγνά.
Νῦν σε θεὰ λίτομαι κούρη καδμηῒς ἄνασσα.
Πρηΰνοον καλέων αἰεὶ μύστῃσιν ὑπάρχειν.

Μητρὸς ἀνταίας θυμίαμα, ἀρώματα.

Νταία βασίλεια θεὰ πολυώνυμε μῆ-
α τηρ.
Αθανάτων τε θεῶν, ἠδὲ θνητῶν ἀνθρώ-
πων.
Η ποτε μαστεύουσα πολυπλάκτω ἐν ἀνίη.
Νηστείαν κατέπαυσας ἐλευσῖνος γυάλοισιν.
Ηλθές τ' εἰς ἀΐδην, πρὸς ἀγαυὴν περσεφόνειαν.
Δύσαυλος, παῖδ' ἁγνὸν ὁδηγητῆρα λαχοῦσα.
Μηνυτῆρ' ἁγίων λέκτρον, χθονίου διὸς ἁγνοῦ.
Εὔβουλον τέξασα θεὸν θνητῆς ἀπ' ἀνάγκης.
Αλλὰ θεὰ λίτομαί σε πολυλίστη βασίλεια,
Ελθεῖν εὐάντητον ἐπ' εὐιέρῳ σέο μύστη.

Μίσης θυμίαμα, στύρακα.

Εσμοφόρον καλέω ναρθηκοφόρον διό-
θ νυσον.
σπέρμα πολύμνηστον, πολυώνυμον εὐβου-
λῆος
Αγνὴν, εὐίερόν τε μίσην, ἄρρητον ἄνασσαν.
Αρσενα, καὶ θῆλυν, διφυῆ, λύσειον, ἴακχον.
εἴτ' ἐν ἐλευσῖνος τέρπη νηῷ θυόεντι.
εἴτε καὶ ἐν φρυγίῃ σὺν μητέρι μυστιπολεύεις.
Η κύπρῳ τέρπη σὺν εὐστεφάνῳ κυθερείῃ.
Η καὶ πυροφόροις πεδίοις ἐπαγάλλεαι ἁγνοῖς.
σὺν σοὶ μητρὶ θεᾷ μελανηφόρῳ ἴσιδι σεμνῇ.
αἰγύπτου παρὰ χεῦμα σὺν ἀμφιπόλοισι τιθήναις.
εὐμενέουσ' ἔλθοις ἀγαθοῖς τελέουσ' ἐπ' ἀέθλοις.

φοίνιον αἷμα χέαντα κασιγνήτων ὑπὸ δισσῶν.
Δηοῦς ὃς γνώμαισιν ἐνήλλαξας δέμας ἁγνόν.
Θηροτύπον θέμενος μορφὴν δνοφεροῖο δράκοντος.
Κλῦθι μάκαρ φωνῶν, χαλεπὴν δ' ἀποπέμπεο μῆνιν
Παύων φαντασίας ψυχὰς ἐκ πήκτου ἀνάγκης.

Δήμητρος ἐλευσινίας θυμίαμα, στύρακα.

Ηὼ παμμήτειρα θεὰ πολυώνυμε δαῖμον.
δ Σεμνὴ δήμητερ, κουροτρόφε ὀλβιοδῶτι,
πλουτοδότειρα θεὰ, σταχυοτρόφε, παντοδότειρα.
εἰρήνῃ χαίρουσα, καὶ ἐργασίαις πολυμόχθοις.
σπερμία, σωρῖτι, ἀλωαία, χλοόκαρπε.
Η ναίεις ἁγνοῖσιν ἐλευσῖνος γυάλοισιν.
Ιμερόεσσ', ἐρατὴ, θνητῶν θρέπτειρα προπάντων.
Η πρώτη ζεύξασα βοῶν ἀροτῆρα τένοντα,
καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα,
αὐξιθαλὴς, βρομίοιο συνέστιος, ἀγλαότιμος.
Λαμπαδόεσσ', ἁγνὴ, δρεπάνοις χαίρουσα θερείοις.
Σὺ χθονίη, σὺ δὲ φαινομένη, σὺ δὲ πᾶσι προσηνής.
εὔτεκνε, παιδοφίλη, σεμνὴ, κουροτρόφε κούρα.
Αρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς.
Εγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐάζουσα,
μουνογενὴς πολύτεκνε θεὰ, πολυπότνια θνητοῖς,
Ης πολλαὶ μορφαὶ, πολυάνθεμοι, ἱεροθαλεῖς.
Ελθὲ μάκαιρ', ἁγνὴ, καρποῖς βρίθουσα θερείοις.
εἰρήνην κατάγουσα, καὶ εὐνομίην ἐρατεινήν.
καὶ πλοῦτον πολύολβον, ὁμοῦ δ' ὑγίειαν ἄνασσαν.

Οἵτε σαμοθράκην ἱερὴν χθόνα ναιετάοντες
Κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων·
ὑμεῖς καὶ τελετὴν πρῶτοι μερόπεσσιν ἔθεσθε
Ἀθάνατοι κουρῆτες, ἀρήια τεύχε' ἔχοντες,
Νωμᾶτ' ὠκεανὸν, νωμᾶθ' ἅλα, δένδρεά τ' αὔτως·
ἐρχόμενοι γαῖαν κοναβίζετε ποσὶν ἐλαφροῖς·
μαρμαίροντες ὅπλοις, πτήσσουσι δὲ θῆρες ἅπαντες
Ὁρμώντων, θόρυβος δὲ, βοή τ' εἰς οὐρανὸν ἵκει·
εἱλιγμοῖς τε ποδῶν κονίη νεφέλην ἀφικάνει,
ἐρχομένων· τότε δή ῥα καὶ ἄνθεα πάντα τέθηλεν·
Δαίμονες ἀθάνατοι τροφέες, καὶ αὖ ὀλετῆρες·
Ἡνίκ' ἂν ὁρμαίνωνται χολούμενοι ἀνθρώποισιν·
Ὀλλύντες βίον καὶ κτήματα, ἠδὲ καὶ αὐτοὺς
Πιμπλάντες· στοναχεῖ δὲ μέγας πόντος βαθυδίνης,
Δένδρη δ' ὑψικάρηνα ἐκ ῥιζῶν ἐς χθόνα πίπτει·
Ἠχὼ δ' οὐρανία κελαδεῖ ῥοιζήμασι φύλλων·
Κουρῆτες, κορύβαντες, ἀνάκτορες, εὐδύνατοί τε·
ἐν σαμοθράκῃ ἄνακτες, ὁμοῦ διὸς κοῦροι αὐτοί.
Πνοιαὶ ἀέναοι, ψυχοτρόφοι ἀεροειδεῖς·
Οἵτε καὶ οὐράνιοι, δίδυμοι, κλῄζεσθ' ἐν ὀλύμπῳ·
εὔπνοοι, εὔδιοι, σωτήριοι, ἠδὲ προσηνεῖς·
Ὡροτρόφοι, φερέκαρποι, ἐπίπνοιοί τε ἄνακτες.

Κορύβαντος θυμίαμα, λίβανον.

ικλήσκω χθονὸς ἀενάου βασιλῆα μέγιστον.
κ Κύρβαντ', ὀλβιόμοιρον, ἀρήιον, ἀπροσόροτον.
Νυκτερινὸν κούρητα, φόβων ἀποπαύστορα δεινῶν·
Φαντασιῶν ἐπαρωγὸν, ἐρημοπλάνον κορύβαντα·
αἰολόμορφον ἄνακτα, θεὸν διφυῆ, πολύμορφον·

Φασφαὴς, δᾳδοῦχε, θεὰ δίκτυννα, λοχεία.
Ὠδίνων ἐπαγωγὲ, καὶ ὠδίνων ἀμύντε.
Λυσίζωνε, φίλοιστρε, κυνηγέτι, λυσιμέριμνε.
Εὔδρομε, ἰοχέαιρα, φιλαγρότι, νυκτιρόφοιτε.
Κλησία, εὐαίτητε, λυτηρία, ἀρσενόμορφε.
Ορθία, ὠκυλόχεια, βροτῶν κουροτρόφε δαῖμον.
Αμβροτέρα, χθονία, θηροκτόνε, ὀλβιόμοιρε.
Η κατέχεις ὀρέων δρυμοὺς· ἐλαφηβόλε σεμνή.
Πότνια, παμβασίλεια. καλὸν θάλος αἰὲν ἐοῦσα.
Δρυμονία, σκυλακῖτι, κυδωνιὰς, αἰολόμορφε.
ἐλθὲ θεὰ σώτειρα, φίλη μύστησιν ἅπασιν.
εὐαίτητος, ἄγουσα καλοὺς καρποὺς ἀπὸ γαίης.
εἰρήνην τ' ἐρατὴν, καλλιπλόκαμ' ὑγίειαν.
πέμποις δ' εἰς ὀρέων κεφαλὰς, νούσους τε, καὶ ἄλγη.

Τιτάνων θυμίαμα, λίβανον.

Τιτῆνες γαίης τε, καὶ οὐρανοῦ ἀγλαὰ τέκνα.
Ημετέρων πρόγονοι πατέρων, γαίης ὑπένερθεν
Οἴκοις ταρταρίοισι μυχῷ χθονὸς ἐνναίοντες.
Αρχαὶ, καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων.
εἰναλίων, πτηνῶν τε, καὶ οἳ χθόνα ναιετάουσιν.
ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὰ κατὰ κόσμον.
Υμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν.
εἴ τις ἀπὸ χθονίων προγόνων οἴκοις ἐπελάσθη.

Κουρήτων θυμίαμα, λίβανον.

Χαλκόκροτοι κουρῆτες, ἀρήια τεύχε' ἔχοντες
Οὐράνιοι, χθόνιοί τε, καὶ εἰνάλιοι πολύολβοι.
Ζωογόνοι πνοιαὶ, κόσμου σωτῆρες ἀγαυοί.

Τόν δὲ σὺ γὰρ λεύσεις τὸν ἀπείριτον αἰθέρα πάντα.
Γαῖαν τ' ὀλβιόμοιρον, ὕπερθέ τε, καὶ δι' ἀμολγοῦ.
Νυκτὸς ἐν ἡσυχίαισιν ὑπ' ἀστεροόμματον ὄρφνην.
Ρίζας νέρθε δέδορκας, ἔχεις δέ τε πείρατα κόσμου
παντὸς, σοί δ' ἀρχή τε, τελευτή τ' ἐστὶ μέλουσα,
Παντοθαλὴς, σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ
ἁρμόζεις ὁτὲ μὲν νεάτης ἐπὶ τέρματα βαίνων,
ἄλλοτε δ' αὖθ' ὑπάτην, ποτὲ δώριον εἰς διάκοσμον.
Πάντα πόλον κρίνας, κρίνεις βιοθρέμμονα φῦλα.
ἁρμονίῃ κεράσας παγκόσμιον ἀνδράσι μοῖραν.
μίξας χειμῶνος θέρεός τ' ἴσον ἀμφοτέροισιν.
εἰς ὑπάτας χειμῶνα, θέρος νεάταις διακρίνας.
δώριον εἰς ἔαρος πολυράτου ὥριον ἄνθος.
Ενθεν ἐπωνυμίαις σε βροτοὶ κλήζουσιν ἄνακτα
πᾶνα θεὸν δικέρωτ', ἀνέμων συρίγμαθ' ἱέντα.
Οὕνεκα παντὸς ἔχεις κόσμου σφραγίδα τυπῶτιν.
Κλῦθι μάκαρ σώζων μύστας ἱκετηρίδι φωνῇ.

Λητοῦς θυμίαμα, σμύρναν.

ητὼ κυανόπεπλε, θεὰ διδυματόκε, σεμνή.
λ Κοιαντὶς μεγάθυμε, πολυλίστη βασίλεια
εὔτεκνον ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα,
Γειναμένη φοῖβόν τε, καὶ ἄρτεμιν ἰοχέαιραν.
τὴν μὲν, ἐν ὀρτυγίῃ, τὸν δὲ, κραναῇ ἐνὶ δήλῳ.
Κλῦθι θεὰ, δέσποινα, καὶ ἵλεον ἦτορ ἔχουσα,
βαῖν' ἐπὶ πάνθειον τελετὴν, τέλος ἡδὺ φέρουσα.

Αρτέμιδος θυμίαμα, μάνναν.

λῦθί μου ὦ βασίλεια, διὸς πολυώνυμε κούρη.
κ Τιτανὶς, βρομία, μεγαλώνυμε, τοξότι σεμνή.

φλεγραίων ὀλέτειρα, γιγάντων ἱππελάτειρα.
φιλοτέχνεια, λύτειρα κακῶν, νικηφόρε δαῖμον.
Ἤματα, καὶ νύκτας αἰεὶ νεάτοισιν ἐν ὥραις.
Κλῦθί μου εὐχομένου, δὸς δ' εἰρήνην πολύολβον.
καὶ κόρον, ἠδ' ὑγίειαν, ἐπ' εὐόλβοισιν ἐν ὥραις.
γλαυκῶπ', εὑρεσίτεχνε, πολυλίστη βασίλεια.

Νίκης θυμίαμα, μάνναν.

Δυνατὸν καλέω νίκην, θνητοῖσι ποθεινήν.
Ἣ μούνη λύουσι τὴν ἐναγώνιον ὁρμήν,
καὶ στάσιν αἰγεινόεσσαν, ἐπ' ἀντιπάλοισι
μάχαισιν.
ἐν πολέμοις κρίνουσα φοπαιοῖς χοισιν ἐπ' ἔργοις.
οἷς ἂν ἐφορμαίνουσα φέροις γλυκερώτατον εὖχος.
Πάντων γὰρ κρατέεις, πάσης δ' ἔριδος κλέος ἐσθλὸν
Νίκη ἐπ' εὐδόξω κεῖται, θαλίαισι βρυάζον.
Ἀλλὰ μάκαιρ' ἔλθοις ποθουμένω ὄμματι φαιδρῷ,
αἰεὶ ἐπ' εὐδόξοις κλέος ἔργοις ἐσθλὸν ἄγουσα.

Ἀπόλλωνος θυμίαμα, μάνναν.

Ἐλθὲ μάκαρ παιάν, τιτυοκτόνε, φοῖβε λυ-
κωρεῦ.
Μεμφῖτ' ἀγλαότιμε, ἰήϊε, ὀλβιοδῶτα.
χρυσολύρη, σπέρμειε, ἀρόσιε, πύθιε, τιτάν.
γρύνιε, καὶ σμινθεῦ, πυθοκτόνε, δελφικὲ, μάντι.
ἄγριε, φωσφόρε, δαῖμον ἐράσμιε, κύδιμε, κοῦρε.
Μουσαγέτα. χοροποιὲ, ἑκηβόλε, τοξοβέλεμνε.
Βάκχιε, καὶ διδυμεῦ, ἑκάτεργε, λοξία, ἁγνέ.
δήλι' ἄναξ, πανδερκὲς ἔχων φαεσίμβροτον ὄμμα.
χρυσοκόμα. καθαρὰς φήμας, χρησμούς τ' ἀναφαίνων
Κλῦθί μου εὐχομένου λαῶν ὕπερ, εὔφρονι θυμῷ.

Κισσόβρυον, ταυρωπὸν, ἀρήιον, εὔιον ἁγνόν.
Ωμάδιον, τριετῆ βοτρυφόρον, ἐρνεσίπεπλον.
Εὔβουλ' εὐπολύβουλε, διὸς, καὶ περσεφονείης,
Αρρήτοις λέκτροισι τεκνωθεὶς, ἄμβροτε δαῖμον.
Κλῦθι μάκαρ φωνῆς, ἡδὺς δ' ὠδίνευσιν εὐνῆς
εὐμενὲς ἦτορ ἔχων, σὺν εὐζώνοισι τιθήναις.

Υμνος κουρήτων.

σ κιρτηταὶ κουρῆτες ἐνόπλια βήματα θέντες.
ποσσίκροτοι, ῥομβηταὶ, ὀρέστεροι, εὐαστῆρες.
Κρουσολύραι, παράρυθμοι, ἐπεμβάται ἴχνεσι κοῦφοις
Οπλοφόροι, φύλακες, κοσμήτορες, ἀγλαόφημοι.
Μητρὸς ὀρειομανοῦς συνοπάονες, ὀργιοφάνται.
Ελθοιτ' εὐμενέοντες, ἐπ' εὐφήμοισι λόγοισι.
Βουκόλῳ εὐάντητοι ἀεὶ κεχαρηότι θυμῷ.

Υμνος ἀθηνᾶς.

π αλλὰς μουνογενὴς μεγάλου διὸς ἔγγονε σεμνὴ
Δῖα μάκαιρα θεὰ, πολεμόκλονε, ὀβριμό
Αρρυτ', ἀῤῥητὴ, μεγαλώνυμε, ἀντροδίαιτε. (θυμε.
Η διάγεις ὄχθους ὑψαύχενας ἀκρωρείους.
Η δ' ὀρέα σκιόεντα, νάπαισί τε σὴν φρένα τέρπεις.
Οπλοχαρὲς, οἰστροῦσα βροτῶν ψυχὰς μανίαισι.
γυμνάζουσα κόρη, φρικώδη θυμὸν ἔχουσα.
γοργοφόνε, φυγόλεκτρε, τεχνῶν μῆτερ πολύολβε.
Ορμάστειρα, φίλοιστρε κακοῖς, ἀγαθοῖς δὲ φρόνησις.
Αρσην μὲν, καὶ θῆλυς ἔφυς, πολεμάτοκε, μῆτι.
αἰολόμορφε. δράκαινα, φιλένθεε, ἀγλαότιμε.

Υμνος περσεφόνης.

Ερσεφόνη θύγατερ μεγάλου διὸς ἐλθὲ
π μάκαιρα.
Μουνογένεια θεὰ, κεχαρισμένα δ' ἱερὰ δέ-
ξαι.
Πλούτωνος πολύτιμε δάμαρ κεδνὴ βιοδῶτι.
Η κατέχεις ἀΐδαο πύλας· ὑπὸ κεύθεα γαίης.
Πραξιδίκη, ἐρατοπλόκαμε διὸς θάλος ἁγνόν.
εὐμενίδων γενέτειρα, ὑποχθονίων βασίλεια.
Ην ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην.
μῆτερ ἐριβρεμέτου, πολυμόρφου, εὐβουλῆος.
Ωρῶν συμπλέκτειρα, φαεσφόρε, ἀγλαόμορφε.
Σεμνὴ, παντοκράτειρα, κόρη καρποῖσι βρύουσα.
εὐφεγγὴς, κερόεσσα, μόνη θνητοῖσι ποθεινή.
εἰαρινὴ, λειμωνιάσιν χαίρουσα πνοῇσιν.
Ιερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις.
Αρπαγιμαία, λεχοῖ· μετοπωρινὰ νυμφευθεῖσα.
Ζωὴ, καὶ θάνατος μούνη, θνητοῖς πολυμόχθοις,
Φερσεφόνεια, φέρεις γὰρ ἀεὶ, καὶ πάντα φονεύεις.
Κλῦθι μάκαιρα θεὰ, καρποὺς δ' ἀνάπεμπ' ἀπὸ γαί
εἰρήνη θάλλουσα, καὶ ἠπιόχειρ ὑγιεία. (ης.
καὶ βίω εὐόλβω, λιπαρὸν γῆρας κατάγοντι.
πρὸς σὸν χῶρον ἄνασσα καὶ εὐδύνατον πλούτωνα.

Διονύσου θυμίαμα στύρακα.

Ικλήσκω διόνυσον, ἐρίβρομον εὐαστῆ-
κ ρα.
Πρωτόγονον, διφυῆ, τρίγονον, βακχεῖον ἄ-
νακτα
Αγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον.

τῇδε μόλοις κράντειρα θεά, σέο πότνι' ἐπ' εὐχαῖς.
Ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων
σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε σεμνή.
Η κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτὴ
Γαῖαν ἔχεις, θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς
Εκ σέο δ' ἀθανάτων τε γένος, θνητῶν τ' ἐλοχεύθη.
Σοὶ ποταμοὶ κρατέονται ἀεὶ, καὶ πᾶσα θάλασσα.
Ιστία, αὐδέχθης, σὲ δὲ ὀλβοδότιν καλέουσι,
Παντοίων ἀγαθῶν θνητοῖς, ὅτι δῶρα χαρίζῃ.
Ερχεο πρὸς τελετὴν ὦ πότνια τυμπανοτερπή.
Πανδαμάτωρ· φρυγίης σώτειρα, κρόνου συνόμευνε
Ουρανόπαι, πρέσβειρα, βιοθρέπτειρα φίλοιστρε.
Ερχεο γηθόσυνος κεχαρισμένη εὐσεβίησιν.

Ερμοῦ θυμίαμα, λίβανον.

Λῦθί μου ἑρμεία διὸς ἄγγελε, μαιάδος υἱέ.
κ Παγκρατὲς ἦτορ ἔχων. ἐναγώνιε, κοίρανε θνητῶν
εὔφρων, ποικιλόβουλε, διάκτορε, ἀργειφόντα.
Πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα.
Γυμνάσιν ὃς χαίρεις, δολίαις τ' ἀπάταις τροφιοῦχε
Ερμηνεῦ πάντων, κερδέμπορε, λυσιμέριμνε.
Ος χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές.
Κωρυκιῶτα, μάκαρ, ἐριούνιε, ποικιλόμυθε.
Εργασίαις ἐπαρωγὲ, φίλε θνητοῖς ἐν ἀνάγκαις.
Γλώσσης δεινὸν ὅπλον τὸ σεβάσμιον ἀνθρώποισι.
Κλῦθί μου εὐχομένου, βιότου τέλος ἐσθλὸν ὀπάζων,
Εργασίαισι, λόγου χάρισιν, καὶ μνημοσύνῃσιν.

Πρωτέως θυμίαμα, στύρακα.

π Ρωτέα κικλήσκω, πόντου κληῖδας ἔχοντα·
πρωτογενῆ, πάσης φύσεως ἀρχὰς ὃς ἔφηνεν·
ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις.
Πάντιμος, πολύβουλος, ἐπιστάμενος τά τε ὄντα,
Οσσα τε πρόσθεν ἔην· ὅσα τ' ἔσσεται ὕστερον αὖτις
Πάντα γὰρ πρωτεῖ πρώτη, φύσις ἐγκατέθηκεν.
Αλλὰ πάτερ μόλε μυστιπόλοις ὁσίαισι προνοίαις,
πέμπων εὐόλβου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις.

Γῆς θυμίαμα πᾶν σπέρμα, πλὴν κυάμων καὶ ἀρωμάτων.

β Γαῖα θεὰ, μῆτερ μακάρων, θνητῶν τ' ἀνθρώπων·
πάντροφε, πανδώτειρα, τελεσφόρε, παντολέτειρα·
αὐξιθαλὴς, φερέκαρπε, καλαῖς ὥραισι βρύουσα.
Εδρανον ἀθανάτου κόσμου πολυποίκιλε κούρη.
Η λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ.
Αἰδία πολύσεπτε βαθύστερν' ὀλβιόμοιρε
Ηδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον.
ὀμβροχαρὴς, περὶ ἣν κόσμος πολυδαίδαλον ἄστρων
εἱλεῖται φύσει ἀενάῳ, καὶ ῥεύμασι δεινοῖς,
Αλλὰ μάκαιρα θεὰ, καρποὺς αὔξοις πολυγηθεῖς.
εὐμενὲς ἦτορ ἔχουσα, σὺν ὀλβίοισιν ὥραις.

Μητρὸς θεῶν θυμίαμα, ποικίλα.

α Αθανάτων θεότιμε θεῶν μῆτερ τροφὲ πάντων.

Κλῦθί μου ὦ πολύσεμνον καὶ εὐμενέουσ' ἐπαρήγοις·
εὐθυδρόμοις οὖρον ναυσὶν πέμπουσα μάκαιρα.

Νηρέως θυμίαμα, σμύρναν.

Κατέχων πόντου ῥίζας κυαναυγέτιν
ὦ ἕδρην.
Πεντήκοντα κόραισιν ἀγαλλόμενος κατὰ
τὰ κῦμα.
Καλλιτέκνοισι χοροῖς, νηρεῦ μεγαλώνυμε δαῖμον·
πυθμὴν μὲν πόντου, γαίης πέρας, ἀρχὴ ἁπάντων·
Ὃς κλονέεις δηοῦς ἱερὸν βάθρον, ἡνίκα πνοιὰς
Ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείοις·
Ἀλλὰ μάκαρ, σεισμοὺς μὲν ἀπότρεπε δὲ μύσταις
Ὄλβον ἐπ' ἤρινῳ τε καὶ ὀλβιόχειρον ὑγείην.

Νηρηίδων θυμίαμα, ἀρώματα.

Νηρέως εἰναλίου νύμφαι καλυκώπιδες
ἁγναί.
Σφράγιαι, βύθιαι, χοροπαίγμονες, ὑγρο
κέλευθοι.
Πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι.
Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα·
Θηροτύποις μορφαῖς, ὧν βόσκει σώματ' ὁ πόντος·
ἄλλοι θ', οἳ ναίουσι βυθὸν τριτώνιον οἶδμα·
ὑδροδόμοι, σκιρτηταὶ, ἑλισσόμενοι περὶ κῦμα·
Ποντοπλάνοι, δελφῖνες, ἁλιρρόθιοι, κυαναυγεῖς.
Ὑμᾶς κικλήσκω πέμπειν μύσταις πολὺν ὄλβον.
Ὑμεῖς γὰρ πρῶται τελετὴν ἀνεδείξατε σεμνὴν.
εὐιέρου βάκχοιο, καὶ ἁγνῆς φερσεφονείης.
καλλιόπῃ σὺν μητρί, καὶ ἀπόλλωνι ἄνακτι.

Πρωτέως

Διὸς ἀστραπαίου θυμίαμα, λιβανομάνναν.

Ικλήσκω μέγαν, ἁγνόν, ἐρισμάραγον, περίφαντον.
Ἀέριον, φλογόεντα, πυρίδρομον, ἀεροφεγγῆ.
Ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ.
Φρικώδη, βαρύμηνιν, ἀνίκητον, θεὸν ἁγνόν.
Ἀστραπέα Δία, παγγενέτην, βασιλῆα μέγιστον.
εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν.

Νεφελῶν θυμίαμα, σμύρναν.

Εροι νεφέλαι, καρποτρόφοι, οὐρανόπλαγκτοι
Ὀμβροτόκοι, πνοιαῖσιν ἐλαυνόμεναι κατὰ κόσμον·
Βρονταῖαι, πυρόεσσαι, ἐρίβρομοι, ὑδροκέλευθοι,
Ἀέρος ἐν κόλπῳ πάταγον φρικώδη ἔχουσαι
Πνεύμασιν ἀντίασασι. ἐπιδρομάδην παταγεῦσαι.
Ὑμᾶς νῦν λίτομαι δροσοείμονες, εὔπνοοι, αὔραις
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Θαλάσσης θυμίαμα, λιβανομάνναν.

Κεανοῦ καλέω νύμφην γλαυκώπιδα Τηθύν,
Κυανόπεπλον ἄνασσαν εὔτροχα κυμαίνουσαν.
Αὔραις ἡδυπνόοισι πατασσομένην περὶ γαῖαν.
Θραύουσ' αἰγιαλοῖς πέτρῃσί τε κύματα μακρὰ
εὐδιανοῖς ἁπαλοῖσι γαληνιόωσα δρόμοισι,
Ναυσὶν ἀγαλλομένη, θηροτρόφε, ὑγροκέλευθε.
μήτηρ μὲν Κύπριδος, μήτηρ νεφέων ἐρεβεννῶν.
καὶ πάσης πηγῆς νυμφῶν νασμοῖσι βρυούσης.

Μῆνος ἔφυς ἀφανῶν ἔργων φανερῶν τε βραβευτής·
Ενθεε, παντοκράτωρ, ἱερώτατε ἀγλαότιμε·
Σεμνοῖς μονσοπόλοις χαίρων, ὁσίοις τε σεβασμοῖς·
Ιλεον αἰκαλέωσε μολεῖν κεχαρηότα μύσταις.

Κεραυνίου Διὸς θυμίαμα, στύρακα.

εῦ πάτερ, ὑψίδρομον πυραυγέα κόσμον
ζ ἐλαύνων,
στράπτων αἰθερίου στεροπῆς πανυπέρτατον
αἴγλην
παμμακάρων ἕδρανον θείαις βρονταῖς τινάσσων·
Νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων
λαίλαπας, ὄμβρους, πρηστῆρας, κρατεροὺς τε κεραυνοὺς
Βάλλων ἐς ῥοθίους φλογεροὺς, βελέεσσι καλύπτων
παμφλέκτους, κρατεροὺς, φρικώδεας, ὀβριμοθύμους
πτηνὸν ὅπλον δεινὸν, χρονοκάρδιον, ὀρθοέθειρον,
αἰφνίδιον βρονταῖον, ἀνίκητον βέλος ἁγνόν.
Ροίζου ἀπειρεσίου δίναις παμφάγον ὁρμῇ.
ἄρρηκτον, βαρύθυμον, ἀμαιμάκετον, πρηστῆρος,
Οὐράνιον βέλος, ὀξὺ, καταιβάτου αἰθαλόεντος.
Ον καὶ γαῖα πέφρικε θάλασσά τε παμφανόωσα.
καὶ θῆρες πτήσσουσιν, ὅταν κτύπος οὔας ἐσέλθῃ.
Μαρμαίρει δὲ πρόσωπ' αὐγαῖς· σμαραγεῖ δὲ κεραυ
αἰθέρος ἐν γυάλοισι διαρρήξας δὲ χιτῶνα, (νὸς.
Οὐράνιον προκάλυμμα βάλλεις ἀργῆτα κεραυνόν.
ἀλλὰ μάκαρ θυμὸν ὄβριμον ἔμβαλε κύμασι πόντου
Ηδ' ὀρέων κορυφαῖσι· τὸ σὸν κράτος ἴσμεν ἅπαντες.
ἀλλὰ χαίρειν λοιβαῖσι δίδου, φρεσὶν αἴσιμα πάντα
Ζωὴν τ' ὀλβιόθυμον, ὁμοῦ θ', ὑγίειαν ἄνασσαν.
καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.

Ποσειδῶνος θυμίαμα σμύρναν.

Κλῦθι ποσειδάον, γαιήοχε, κυανοχαῖτα·
ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν.
Ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα
Ποντομέδων· ἁλίδουπε, βαρύκτυπε, ἐννοσίγαιε.
Κυμοθαλὴς, χαιτῶπα, τετράορον ἅρμα διώκων.
Εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ·
Ὃς τριτάτης ἔλαχες μοίρης βαθὺ χεῦμα θαλάσσης
Κύμασι τερπόμενος, θηρσὶν θ' ἅμα, πόντιε δαῖμον.
Ἕδραν γῆς σώζοις καὶ νηῶν εὔδρομον ὁρμήν.
Εἰρήνην, ὑγίειαν ἄγων, ἠδ' ὄλβον ἀμεμφῆ.

Εἰς πλούτωνα.

Ὦ τὸν ὑποχθόνιον ναίων δόμον ὀβριμόθυμε.
Ταρτάρειον λειμῶνα βαθύσκιον. ἠδὲ λιπαυγῆ.
Ζεῦ χθόνιε σκηπτοῦχε. τάδ' ἱερὰ δέξο προθύμως.
Πλούτων ὃς κατέχεις γαίης κληῖδας ἁπάσης.
Πλουτοδοτῶν γενεὰν βροτέαν καρποῖς ἐνιαυτῶν.
Ὃς τριτάτης μοίρης ἔλαχες χθόνα παμβασίλειαν.
Ἕδραν ἀθανάτων, θνητῶν στήριγμα κραταιόν.
Ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον·
Τηλεπόρον τ' ἀκάμαντα, λιπόπνοον, ἄκριτον ἅδην
Κυάνεον τ' ἀχέροντ' θ', ὃς ἔχει ῥιζώματα γαίης.
Ὃς κρατέεις θνητῶν θανάτου χάριν ὦ πολυδαῖμον.
Εὔβουλ', ἁγνοπόλου δημήτερος ὅς ποτε παῖδα,
Νυμφεύσας, λειμῶνος ἀποσπάσας διὰ πόντου
Τετρώροις ἵπποισιν ὑπ' ἀτθίδος ἤγαγες ἄντρον,
Δήμου ἐλευσῖνος, τόθι περ πύλαι εἰσ' ἀΐδαο.

Διὸς θυμίαμα, στύρακα.

εῦ πολύτιμε, Ζεῦ ἄφθιτε, τήνδε τοι ἡμεῖς
ζ Μαρτυρίαν τιθέμεσθα, λυτήριον, ἠδὲ πρόσ-
σευξιν.
Ὦ βασιλεῦ, διὰ σὴν κεφαλὴν, ἐφάνη τάδε ῥεῖα.
Γαῖα θεὰ μήτηρ, ὀρέων θ' ὑψηχέες ὄχθοι.
καὶ πόντος, καὶ πάνθ' ὁπόσ' οὐρανὸς ἐντὸς ἔταξε.
Ζεῦ κρόνιε, σκηπτοῦχε, καταιβάτα, ὀβριμόθυμε.
παντογένεθλ' ἀρχὴ πάντων, πάντων τε τελευτή.
Σεισίχθων, αὐξητά, καθάρσιε, παντοτινάκτα·
Ἀστραπαῖε, βρονταῖε, κεραύνιε, φυτάλμιε Ζεῦ.
Κλῦθι μου αἰολόμορφε, δίδου δ' ὑγίειαν ἀμεμφῆ·
εἰρήνην θεὰν, καὶ πλούτου δόξαν ἄμεμπτον.

Ἥρας θυμίαμα, ἀρώματα.

Υανέοις κόλποισιν ἐνημένη ἀερόμορφε.
κ Ἥρα παμβασίλεια, Διὸς σύλλεκτρε μάκαιρα
Ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς.
Ὄμβρων μὲν μήτηρ ἀνέμων τροφέ. παντογένεθλε.
Χωρὶς γὰρ σέθεν, οὐδὲν ὅλως ζωῆς φύσιν ἔγνω.
Κοινωνεῖς γὰρ ἅπασι κεκραμένη ἠέρι σεμνῶς.
Πάντων γὰρ κρατέεις μούνη, πάντεσσί τ' ἀνάσσεις.
Ἠερίοις ῥοίζοισι τινασσομένη κατὰ χεῦμα.
ἀλλὰ μάκαιρα θεὰ πολυώνυμε, παμβασίλεια,
Ἔλθοις εὐμενέουσα καλῷ γήθοντι προσώπῳ.

Ποικιλόβουλ' ἀμίαντε, μεγασθενὲς, ἄλκιμε, τιτάν·
Ὃς δαπανᾷς μὲν ἅπαντα, καὶ αὔξεις ἔμπαλιν αὐτός.
Δεσμοὺς ἀῤῥήτους ὃς ἔχεις κατ' ἀπείρονα κόσμον.
αἰῶνος κρόνε παγγενέτωρ, κρόνε ποικιλόμυθε.
Γαίης τε βλάστημα, καὶ οὐρανοῦ ἀστερόεντος.
Γεύνας φημείωσι, ῥέας πόσι, σεμνὲ προμηθεῦ.
Ὃς ναίεις κατὰ πάντα μέρη κόσμοιο γενάρχα.
ἀγκυλομῆτα φέριστε, κλύων ἱκετηρίδα φωνὴν
πέμποις εὔολβον βιότου τέλος αἰὲν ἄμεμπτον.

Ῥέας θυμίαμα, ἀρώματα.

Οτνα ῥέα, θύγατερ πολυμόρφου πρωτο-
π γόνοιο.
Ἡτ' ἐπὶ ταυροφόρον ἱερότροχον ἅρματι
ταίνεις.
Τυμπανόδουπε, φιλοιστρομανὲς, χαλκόκροτε κούρη
πάντι μὲν ἀγλαόμορφε, κρόνου σύλλεκτρε μάκαιρα.
Οὔρεσιν ἣ χαίρεις, θνητῶν τ' ὀλύγμασι φρικτοῖς.
παμβασίλεια ῥέα, πολεμόκλονε, ὀβριμόθυμε.
ψευδομένη σώτειρα, λυτηριὰς, ἀρχιγένεθλε.
Μήτηρ μέν τε θεῶν, ἠδὲ θνητῶν ἀνθρώπων.
Ἐκ σοῦ γὰρ καὶ γαῖα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
καὶ πόντος, πνοιαί τε, φιλόδρομε, ἀερόμορφε.
Ἐλθὲ μάκαιρα θεὰ σωτήριος εὔφρονι βουλῇ.
εἰρήνην κατάγουσα σὺν εὐόλβοις κτεάτεσι.
Λύματα, καὶ κῆρας πέμπουσ' ἐπὶ τέρματα γαίης.

Ἀλλὰ μάκαρ βακχευτὰ, φιλένθεε βαῖν' ἐπὶ λοιβαῖς
εὐιέροις, ἀγαθὴν δ' ὄπασον βιότοιο τελευτήν.
Πανικὸν ἐκπέμπων οἶστρον ἐπὶ τέρματα γαίης.

Ἡρακλέους θυμίαμα, λίβανον.

ἥ Ρακλεῦ ὀβριμόθυμε, μεγασθενὲς, ἄλκιμε, τιτάν.
Καρτερόχειρ, ἀδάμαστε, βρύων ἄθλοισι κραταιοῖς.
αἰολόμορφε, χρόνου πάτερ ἀίδιέ τε εὔφρων.
Ἄρρητ', ἀγριόθυμε, πολύλλιτε, παντοδυνάστα.
παγκρατὲς ἦτορ ἔχων, κάρτος μέγα, τόξα, καὶ μάντι.
παμφάγε. παγγενέτωρ, πανυπέρτατε, πᾶσιν ἀρωγὲ,
Ὃς θνητοῖς κατέπαυσας ἀνήμερα φῦλα διώξας.
Εἰρήνην ποθέων κουροτρόφον, ἀγλαότιμον.
αὐτοφυὴς, ἀκάμας. γαίης βλάστημα φέριστον.
Πρωτογόνοις στράψας φολίσι μεγαλῶν ὑμεναίων.
Ὃς περὶ κρατὶ φορεῖς ἠῶ, καὶ νύκτα μέλαιναν.
Δώδεκ' ἀπ' ἀντολίων ἄχρι δυσμῶν, ἆθλα διέρπων.
Ἀθανάτοις πολύπειρος, ἀπείριτος, ἀστυφέλικτος.
Ἐλθὲ μάκαρ, νούσων θελκτήρια πάντα κομίζων.
ἐξέλασον δὲ κακὰς ἄτας, κλάδον ἐν χερὶ πάλλων,
Πτηνοῖς τ' ἰοβόλοις κῆρας χαλεπὰς ἀπόπεμπε.

Κρόνου θυμίαμα, στύρακα.

αἰ θαλὴς μακάρων τε θεῶν πάτερ, ἠδὲ καὶ
ἀνδρῶν.

Αβρομε, πανδαμάτειρα, πεπρωμένη, αἶσα, πυρίπ
Αἴδιος ζωὴ, ἠδ' ἀθανάτη τε πρόνοια· (νους·
πάντα σοι ἐστὶ, τὰ πάντα σὺ γὰρ τὰ δε μούνη τεύχεις·
Αλλὰ θεὰ λίτομαί σε σὺν εὐόλβοισιν ἐν ὥραις,
εἰρήνην, ὑγίειαν ἄγειν, αὔξησιν ἁπάντων·

Πανὸς θυμίαμα, ποικίλα·

π Ανα καλῶ κρατερὸν, κόσμοιο τὸ σύμπαν·
Οὐρανὸν, ἠδὲ θάλασσαν, ἰδὲ χθόνα παμβασίλειαν·
καὶ πῦρ ἀθάνατον· τάδε γὰρ μέλη ἐστὶ τὰ πανὸς,
Ελθὲ μάκαρ σκιρτητὰ, περίδρομε, σύνθρονε ὥραις·
αἰγομελὲς βακχευτὰ φιλένθεε, ἀστροδίαιτε·
ἁρμονίαν κόσμοιο κρέκων, φιλοπαίγμονι μολπῇ·
φαντασιῶν ἐπαρωγὲ, φόβων ἔκπαγλε βροτείων·
αἰγονόμοις χαίρων ἀνὰ πίδακας, ἠδέτε βούταις·
εὔσκοπε, θηρητὴρ, ἠχοῦς φίλε· σύγχορε νυμφῶν·
παντοφυὴς, γενέτωρ πάντων, πολυώνυμε δαῖμον·
κοσμοκράτωρ, αὐξητὰ, φαεσφόρε, κάρπιμε παιὰν
ἀντροχαρὲς, βαρύμηνις, ἀληθὴς ζεὺς ὁ κέρατος·
Σοὶ γὰρ ἀπειρόσιον γαίης πέδον ἐστήρικται.
εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύσπορον ὕδωρ
Ωκεανός τε πέριξ ἐν ὕδασι γαῖαν ἑλίσσων·
ἀέριόν τε μέρισμα, τροφῆς ζωοῖσιν ἔναυσμα·
καὶ κορυφῆς ἐφ' ὕπερθεν ἐλαφροτάτου πυρὸς ὄμμα
Βαίνει γὰρ τάδε θεῖα πολύκριτα, σαῖσιν ἐφετμαῖς·
Αλλάσσεις δὲ φύσεις πάντων ταῖς σαῖσι προνοίαις·
Βόσκων ἀνθρώπων γενεὴν κατ' ἀπείρονα κόσμον·

Φύσεως θυμίαμα, ἀρώματα.

φ Υσι παμμήτειρα θεά, πολυμήχανε μῆτερ.
οὐρανία, πρέσβειρα, πολύκτιτε δαῖμον
ἄνασσα.
Πανδαμάτωρ, ἀδάμαστε, κυβερνήτειρα, παναυγὴς
Παντοκράτειρα, τετιμένα, πανυπέρτατε πᾶσιν,
Αφθιτε, πρωτογένεια, παλαίφατε, κυδιάνειρα.
Εννυχία, πολύτειρε, σελασφόρε, δεινοκάθεκτε.
Αψοφον ἀστραγάλοισι ποδῶν ἴχνος εἱλίσσουσα.
Αγνὴ κοσμήτειρα θεῶν, ἀτελής τε τελευτή.
Κοινὴ μὲν πάντεσσιν, ἀκοινώνητε δὲ μούνη,
αὐτοπάτωρ, ἀπάτωρ, ἀρετὴ πολύγηθε μεγίστη.
εὐάνθεια, πλοκή, φιλία, πολύμικτε, δαῖμον.
Ηγεμόνη, κράντειρα, φερέσβιε, πάντροφε κούρη.
αὐτάρκεια δίκη, χαρίτων πολυώνυμε πειθώ.
Αἰθερία χθονία, καὶ εἰναλία μεδέουσα.
Πικρὰ μὲν φαύλοισι γλυκεῖα δὲ πειθομένοισι.
Πάνσοφε, πανδώτειρα, κομίστρια, παμβασίλεια
Αὐξιτρόφων, πίειρα, πεπαινομένων τε λύτειρα.
Πάντων μὲν σὺ πατὴρ, μήτηρ, τροφὸς, ἠδὲ τιθηνὸς
Ωκυλόχεια, μάκαιρα, πολύσπορος, ὡραίας ὁρμή.
Παντοτεχνὲς, πλάστειρα, πολύκτιστε, πότνια δαῖμον
Αἰδία, κινησιφόρε, πολύπειρε. περίφρων.
Αενάῳ στροφάλιγγι θοὸν ῥύμα δινεύουσα
Πάρρυτε, κυκλοτερὴς ἀλλοτριομορφοδίαιτε.
Εὔθρονε, τιμήεσσα. μόνη τὸ κριθὲν τελέουσα.
Σκηπτούχων ἐφύπερθε, βαρυβρεμέτειρα κρατίστη.

εὐσεβέσιν καθοδηγὲ καλῶν, δυσμενὴς δυσσεβοῦσι.
Χρυσολύρη, κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων.
Εργων σημάντωρ ἀγαθῶν, ὡροτρόφε κοῦρε.
Κοσμοκράτωρ, συρικτά, πυρίδρομε, κυκλοέλικτε.
Φωσφόρε· αἰολίδικτε, φερέσβιε, κάρπιμε, παιάν.
αἰθαλὶς, ἀμίαντε, χρόνου πάτερ ἀθάνατε ζεῦ.
εὔδιε, παμφαὴς, κόσμου τὸ περίδρομον ὄμμα.
Σβεννύμενον, λάμπον τε, καλαῖς ἀκτῖσι φαειναῖς.
Δίκτα δικαιοσύνης, φιλονάματε, δέσποτα κόσμου.
πιστοφύλαξ, αἰεὶ πανυπέρτατε, πᾶσιν ἀρωγέ.
Ομμα δικαιοσύνης, ζωῆς φῶς, ὦ ἐλάσιππε.
Μάστιγι λιγυρῇ τετράορον ἅρμα διώκων.
Κλῦθι λόγων· ἡδὺν δὲ βίον μύσταισι πρόφαινε.

Σελήνης θυμίαμα, ἀρώματα.

Κλῦθι θεὰ βασίλεια, φαεσφόρε, δῖα σελήνη.
Ταυρόκερως, μήνη, νυκτιδρόμε, ἠεροφοῖτι.
Ηννυχία, δᾳδοῦχε, κόρη εὐάστερε μήνη.
αὐξομένη, καὶ λειπομένη, θῆλυς τε, καὶ ἄρσην.
αὐγήτειρα, φίλιππε, χρόνου μῆτερ, φερέκαρπε.
Ηλεκτρὶς, βαρύθυμε, καταυγάστειρα, νυχία.
Πανδερκὴς, φιλάγρυπνε, καλοῖς ἄστροισι βρύουσα.
Ησυχίᾳ χαίρουσα, καὶ εὐφροσύν' ὀλβιομοίρῳ.
Λαμπετίη, χαριδῶτι, τελεσφόρε, νυκτὸς ἄγαλμα.
Αστράρχη, τανύπεπλ', ἑλικόδρομε, πάνσοφε κούρη.
Ελθὲ μάκαιρ' εὔφρων, εὐάστερε φέγγεϊ τῷ σῷ.
Λαμπομένη σώζουσα, τοὺς ἱκέτας σὺ λοκούρη.

Ἄστρων θυμίαμα, ἀρώματα.

Ἄστρων οὐρανίων ἱερὸν σέλας ἐκπροκαλοῦμαι.
Εὐιεραῖς φωναῖσι κικλήσκων δαίμονας ἁγνούς.
Ἀστέρες οὐράνιοι, νυκτὸς φίλα τέκνα μελαίνης,
Ἐγκυκλίοις δίναισι περιθρόνια κυκλέοντες,
Ἀνταυγεῖς πυρόεντες, ἀεὶ γενετῆρες ἁπάντων.
Μοιρίδιοι. πάσης μοίρης σημάντορες ὄντες.
Θνητῶν ἀνθρώπων θείαν διέποντες ἀταρπὸν,
Ἑπταφαεῖς, ζώνας ἐφορώμενοι, ἠερόπλαγκτοι,
Οὐράνιοι, χθόνιοί τε, πυρίδρομοι, αἰὲν ἀτειρεῖς,
αὐγάζοντες ἀεὶ νυκτὸς ζοφοειδέα πέπλον,
Μαρμαρυγαῖς στίλβοντες ἐΰφρονες ἐννύχιοί τε,
Ἔλθετ' ἐπ' εὐιέρου τελετῆς πολυΐστορος ἄθλους,
Ἐσθλοὶ ἐπ' εὐδόξοις, ἔργοις δρόμον ἐκτελέοντες.

Ἡλίου θυμίαμα λιβανομάνναν.

Κλῦθι μάκαρ, πανδερκὲς ἔχων αἰώνιον ὄμμα.
Τιτὰν χρυσαυγὴς, ὑπερίων, οὐράνιον φῶς,
αὐτοφυὴς, ἀκάμα, ζώων ἡδεῖα πρόσοψι,
Δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτὸς,
Κρᾶσιν ἔχων ὡρῶν, τετραβάμοσι ποσσὶ χορεύων.
Εὔδρομε, ῥοιζωτὴρ, πυρόεις, φαιδρωπὲ, διφρευτά.
Ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων.

Κυανόχρως, ἀδάμαστε, παναίολε, αἰολόμορφε.
Πανδερκὲς, χρονότεκνε, μάκαρ πανυπέρτατε δαῖμον
Κλῦθ᾽ ἐπάγων ζωὴν ὁσίαν μύστῃ νεοφάντῃ.

Αἰθέρος θυμίαμα, κρόκον.

Διὸς ὑψιμέλαθρον ἔχων κράτος αἰὲν
ὦ ἀτειρὲς,
Ἄστρων, ἠελίου τε σεληναίης τε μέρισμα.
Πανδαμάτωρ, πυρίπνουν, πᾶσι ζωοῖσιν ἔναυσμα,
Ὑψιφανὴς αἰθὴρ, κόσμου στοιχεῖον ἄριστον.
Ἀγλαὸν ὦ βλάστημα, σελασφόρον, ἀστεροφεγγές.
Κικλήσκων λίτομαί σε, κεκραμένον εὔδιον εἶναι.

Πρωτογόνου θυμίαμα σμύρναν.

Ρωτογόνον καλέω διφυῆ, μέγαν αἰθε
π ροπλάγκτον.
Ὠογενῆ, χρυσέαισιν ἀγαλλόμενον πτερύ
γεσσιν,
Ταυροβόαν, γένεσιν μακάρων, θνητῶν τ᾽ ἀνθρώπων.
Ὅς τε πολύμνηστον πολυόργιον εὕρηκε παισὶν,
Ἄρρητον, κρύφιον, ῥοιζήτορα παμφαὲς ἔρνος
Ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὁμίχλην.
Πάντη δινηθεὶς πτερύγων ῥιπαῖς κατὰ κόσμον,
Λαμπρὸν ἄγων φάος ἁγνὸν, ἀφ᾽ οὗ σε Φάνητα κικλή
Ἠδὲ Πρίηπον ἄνακτα, καὶ ἀνταυγῆ ἑλίκωπον. (σκω,
Ἀλλὰ μάκαρ πολύμητι, πολύσπορε, βαῖνε γεγηθὼς
Ἐς τελετὴν ἁγίαν, πολυποίκιλον, ὀργιοφάνταις.

Νυκτὸς, θυμίαμα δαλούς.

Υκτα θεῶν γενέτειραν ἀείσομαι, ἠδὲ καὶ
ν ἀνδρῶν.
Νὺξ γένεσις πάντων, ἣν καὶ κύπριν καλέσωμεν.
Κλῦθι μάκαιρα θεὰ, κυαναυγὴ, ἀστεροφεγγὴς,
Ἡσυχίῃ χαίρουσα, καὶ ἠρεμίῃ πολυύπνῳ·
Εὐφροσύνη, τερπνὴ, φιλοπάννυχε, μῆτερ ὀνείρων·
Ληθομέριμν' ἀγαθή τε, πόνων ἀνάπαυσιν ἔχουσα,
Ὑπνοδότειρα, φίλη πάντων, ἐλάσιππε· νυχαυγὴς,
Ἡμιτελὴς, χθονία, ἠδ' οὐρανία πάλιν αὐτή·
Ἐγκυκλία, παίκτειρα, διώγμασιν ἠεροφοίτοις·
Ἡ φάος ἐκ πέμπεις ὑπὸ νέρτερα, καὶ πάλι φεύγεις
ἐς ἀΐδην· δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει.
Νῦν τε μάκαιρα νὺξ πολύολβιε, πᾶσι ποθεινὴ,
Εὐάντητε, κλύουσα λόγων ἱκετηρίδα φωνήν·
Ἔλθοις εὐμενέουσα, φόβους δ' ἀπόπεμπε νυχαυγεῖς.

Οὐρανοῦ θυμίαμα, λίβανον.

Ρανὲ παγγενέτωρ, κόσμου μέρος αἰὲν
ȣ ἀτειρὲς,
Πρεσβυγένεθλ' ἀρχὴ πάντων, πάντων τε
τελευτή,
Κόσμε πατὴρ, σφαιρηδὸν ἑλισσόμενος περὶ γαῖαν·
Οἶκε θεῶν μακάρων, ῥόμβου δίναισιν ὁδεύων.
Οὐράνιος, χθόνιός τε, φύλαξ πάντων περιβληθεὶς,
Ἐν στέρνοισιν ἔχων φύσεως ἄτλητον ἀνάγκην,

ἐνοδίαν ἑκάτην κλήζω, τριοδῖτιν ἐρανὴν,
Οὐρανίαν χθονίαν τε, καὶ ἐναλίαν κροκόπεπλον.
Τυμβιδίαν ψυχαῖς νεκύων μεταβακχεύουσαν.
περσίαν σκυλακῖτιν ἀμαιμάκετον βασίλειαν,
Ταυροπόλον, παντὸς κόσμου κλειδοῦχον ἄνασσαν,
Ἡγεμόνην, νύμφην, κουροτρόφον, οὐρεσιφοῖτιν,
Λισσομένοις κούρην τελεταῖς ὁσίαισι παρεῖναι.
Βουκόλῳ εὐμενέουσαν ἀεὶ κεχαρηότι θυμῷ.

ΤΟΥ ΑΥΤΟΥ, ΥΜΝΟΙ.

Προθυραίας θυμίαμα, στύρακα.

λῦθί μοι, ὦ πολύσεμνε θεὰ, πολυώνυμε
κ δαῖμον.
Ωδίνων ἐπαρωγὲ, λεχῶν ἡδεῖα πρόσοψι,
Θηλειῶν σώτειρα, μόνη φιλόπαις ἀγανόφρον,
Ωκυλόχεια, παροῦσα νέαις θνητῶν προθυραία.
Κλειδοῦχ' εὐάντητε, φιλόσοφε, πᾶσι προσηνής.
Η κατέχεις οἴκους πάντων, θαλίαις τε γέγηθας.
Λυσίζων ἀφανὴς, ἔργοισι δὲ, φαίνῃ ἅπασι.
Συμπάσχεις ὠδῖσι, καὶ εὐτοκίῃσι γέγηθας.
ἠλύθυα λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις.
Μούνην γάρ σε καλοῦσι λεχοὶ, ψυχῆς ἀνάπαυμα.
ἐν γάρ σοι τοκετῶν λυσιπήμονές εἰσιν ἀνίαι.
Αρτεμις ἠλύθυα, καὶ ἡ σεμνὴ προθυραῖα,
Κλῦθι μάκαιρα, δίδου δὲ γονὰς ἐπαρωγὸν ἐοῦσα.
καὶ σῶζ' ὥσπερ ἔφυς, αἰεὶ σώτειρα προπάντων.

Ηρlω, αἰγιόχοιο διὸς θαλερlὼ παράκοιτιν,
Μνημοσυνlω τ' ἐρατὴν, μούσας τ' ἀγνὰς ἐπικέκλομαι ἄγνας
ἐννέα. καὶ χάριτάς τε, καὶ ὥρας, ἠδ' ἐνιαυτὸν.
Λητώ τ' εὔπλοκαμον θεάν, σεμνlώ τε διώνlω.
Κουρῆτας τ' ἐνόπλους, κορύβαντάς τ' ἠδὲ καβείρους
καὶ μεγάλους σωτῆρας ὁμοῦ, διὸς ἄφθιτα τέκνα.
Ιδαίους τε θεοὺς. ἠδ' ἄγγελον οὐρανιώνων,
Ερμείαν κήρυκα. θέμιν τ' ἱερόσκοπον ἀνδρῶν.
Νύκτα τε πρεσβυτάτην καλέω. καὶ φωσφόρον ἦμαρ,
πίστιν τ', ἠδὲ δίκlω. καὶ ἀμύμονα θεσμοδότειραν.
Ρεῖαν τ', ἠδὲ κρόνον, καὶ τηθὺν κυανόπεπλον.
Ωκεανόν τε μέγαν, σὺν τ' ὠκεανοῖο θύγατρας.
Ατλαντός τε, καὶ αἰῶνος μέγ' ὑπείροχον ἰσχὺν.
καὶ χρόνον ἀένναον. καὶ τὸ στυγὸς ἀγλαὸν ὕδωρ,
Μειλιχίους τε θεοὺς. ἀγαθlὼ δ' ἐπὶ τοῖσι πρόνοιαν.
Δαίμονά τ' ἠγάθεον, καὶ δαίμονα πήμονα θνητῶν.
Δαίμονας οὐρανίους. καὶ ἠερίους, καὶ ἐνύδρους,
καὶ χθονίους, καὶ ὑποχθονίους, ἰδὲ πυριφοίτους.
καὶ σεμέλlω, βάκχου τε συνευαστῆρας ἅπαντας,
Ινὼ, λευκοθέlω τε, παλαίμονά τ' ὀλβιοδώτην.
Νίκlω θ' ἡδυέπειαν. ἰδ' ἀδρήστειαν ἄνασσαν.
καὶ βασιλῆα μέγαν ἀσκληπιὸν, ἠπιοδώτην.
παλλάδα τ' ἐγρεμάχην κούρην. ἀνέμους τε πρόπαντας
καὶ βροντὰς, κόσμου τε μέρη τετρακίονος αὐλῶν.
Μητέρα τ' ἀθανάτων ἄττιν, καὶ μlῶα κικλήσκω.
Οὐρανίαν τε θεὰν, σὺν δ' ἄμβροτον ἀγνὸν ἄδωνιν.
ἀρχlώ τ', ἠδὲ πέρας. τὸ γὰρ ἔπλετο πᾶσι μέγιστον,
εὐμενέας ἐλθεῖν κεχαρημένον ἦτορ ἔχοντας.
Τlὼ δὲ θυηπολίlω ἱερlὼ, σπονδlὼ τ' ἐπὶ σεμνlὼ.

ἔνθεν δ' ὁρμηθεὶς, ἐσύθην χιονώδεα Θρήκην,
λειβήθρων ἐς χῶρον, ἐμὴν ἐς πατρίδα γαῖαν.
ἄντρον δ' ἀσπέρητον περικλυτὸν ἔνθα με μήτηρ
γείνατο ἐν λέκτροις μεγαλήτορος οἰάγροιο.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΜΟΥΣΑΙΟΝ.

Εὐτυχῶς χρῶ ἑταῖρε.

Ανθανε δὴ μουσαῖε θυηπολίην
περὶ σεμνὴν,
Εὐχὴν, ἣ δή τοι προφερεστέρη
ἐστὶν ἁπασῶν.
Ζεῦ βασιλεῦ, καὶ γαῖα, καὶ οὐρανίαι
φλόγες ἁγναὶ
Ηελίου, μήνης θ' ἱερὸν σέλας, ἄστρά τε πάντα.
καὶ σὺ ποσειδάων, γαιήοχε, κυανοχαῖτα.
Φερσεφόνη θ' ἁγνὴ, δημήτηρ τ' ἀγλαόκαρπε.
ἄρτεμι ἰοχέαιρα κόρη, καὶ ἤιε φοῖβε.
Ος δελφῶν ναίεις ἱερὸν πέδον. ὅς τε μεγίστας
τιμὰς ἐν μακάρεσσιν ἔχεις διόνυσε χορευτά.
Αρις τ' ὀβριμόθυμε, καὶ ἡφαίστου μένος ἁγνὸν.
Αφρογενής τε θεὰ, μεγαλώνυμα δῶρα λαχοῦσα.
καὶ σὺ καταχθονίων βασιλεῦ μέγ' ὑπείροχε δαῖμον
Ηβη τ' εἰλείθυια, καὶ ἡρακλέος μένος ἠΰ.
καὶ τὸ δικαιοσύνης τε, καὶ εὐσεβίης μέγ' ὄνειαρ,
Κικλήσκω νύμφας τε κλυτὰς, καὶ πᾶνα μέγιστον.

Ἀλκινόου, τοὶ δ' ὦκα λύοντ' ἐκ πείσματα νηός.
Δὴ τόθ' ὑπ' εἰρεσίῃσι θεοῦ πολυηγόρος ἀργὼ
Ἀμπρακίου κόλποιο διαπρήσσουσα κέλευθα.
ἔνθα τί τοι μουσαῖε θεηγενὲς ἐξαγορεύσω,
ὅσσ' ἔπαθον μινύαισιν ὁμοῦ ποτὶ σύρτιν ἀήταις.
Ἢ πῶς ἐξεσάωθεν ἀλιπλάγκτοιο πορείης.
Ὅσσα τ' ἄρ' ἐν κρήτῃ πάθον ἄλγεα τετληῶτες
Χάλκειον φιγίγαντα δοκεύμενοι, ὄφρ' ἱκόμεσθα.
Ὅς ῥά οἱ ὠκεῖα λιμένων ἔντοσθεν ἱκέσθαι.
Ἠδ' ὡς στεινόμενοι βαρυηχέϊ κύματι πόντου
εἴμφά τε κυανέῃσι βυθυνόμενοι νεφέλῃσιν,
Ἠλπόμεθα σκοπέλοισι μαλαυνείοισιν ἱκέσθαι
Νῆα θοὴν· τυτθὸν δ' ἄρ' ἑκηβόλος ἀγχόθεν αἰὲν
δήλου ἄπο κραναῆς ἧκεν βέλος· ἐκ δ' ἀνέφηνε
μεσσατίων σποράδων· κραναὴν δέ ἑ πάντες ὀπίσσω
Νῆσον ἀνακλήσκουσι περικτίονες ἄνθρωποι.
Ἀλλ' οὐ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἔρξαι
αὐσονίην περὶ γάρ ῥα λύθρον φέρεν· ἄλτο δ' ὀπίσσω
μοῖρ' ὀλοή· κόπτεν γὰρ ἀνηφραδέως ὑπερίων.
Ἀλλ' ὅθ' ὑπ' εἰρεσίης μαλεώπιδας ἱκόμεθ' ἄκρας,
κίρκης ἐννεσίῃσιν ἀπορρίψεσθαι ἔμελλον,
Ἀρὰς αἰήτεω καὶ ἠλιτόποινον ἐριννύν.
δὴ τότ' ἐγὼ μινύαισιν ἐφ' ἱερὰ λύμα καθαρμῶν
Ῥέξα, καὶ ἐλλισάμην γαιήοχον ἐννοσίγαιον,
νόστον ἐπειγομένοις δόμεναι, γλυκερούς τε τοκῆας.
Καί ῥ' οἱ μὲν, πλώοντες ἐΰκτιμένην ἐπ' ἰωλκὸν
Θῶον· ἐγὼ δ' ἱκόμην ἀνὰ ταίναρον ἠνεμόεντα.
ὄφρά κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν,
οἵ τ' ἄρα νερτερίων βερέθρων κληῖδας ἔχουσιν.

ἔνθεν

ἀρήτη ῥοδόπηχυς, ἴδ' ἀλκίνοος θεοειδής.
ἀλκίνοος μὲν ῥ' ὣς ἐπετέλλετο κηρύκεσι
κούρην ἀμφήειστεν ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς
πατρί θ' ἑῷ τίσεσθαι δίκην ἀλιτημοσυνάων.
ἀρήτη δ' ᾤκτειρεν ἀγακλειτὴ βασίλεια
μείλιχα παρφαμένη δὲ τὸν ὃν πόσιν, ὧδ' ἀγόρευεν.
ἦ μὲν δὴ φίμον ἐστὶν ἀπορρώσασθαι ὅμιλον,
λέκτρα τε στορέσαι, λῦσαι τ' ἐκ πυρσὸν ἔρωτος.
θυμαίνει μάλα γάρ σφιν διωναίη ἀφροδίτη
ἀνδράσιν, ἠδὲ γυναιξὶν, ὅστις τάδε μήσεται ἔργα.
ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει,
αἰκέσθω πατρός τε δόμον, καὶ ἐς ἤθεα κόλχων.
εἰ δὲ καὶ νυμφιδίοις ὀάροις λέκτρῳ τε κλιθεῖσα
παρθενίην ἤχυνεν, ἕος πόσις ἄμμιν ἀγέσθω.
ὣς ἔφατ'. ἀλκινόῳ δὲ περὶ φρένας ἤλυθε μῦθος.
καί ῥ' οὕτω τάδε πάντα τελευτήσεσθαι ἔμελλεν.
ἀλλ' οὐ οἱ βουλὴ μινύας λάθεν, αἶψα γὰρ ἤρη
δμωῒ δέμας εἰκυῖα, θοῶς φάτο, καὶ κατέλεξε.
νηὸς ἐπὶ προθοροῦσα τά οἱ μήτιον ἄνακτες.
δὴ τότε μηδείη θαλάμων προσιώετο λέκτρον.
πρύμνη ἐπ' ἀκροτάτη, περὶ δ' ἐστορέσαντο χαμεύνας
ἀμφ' αὐτῇ, χρύσειον ἐφαπλώσαντες ἄωτον.
αὐτὰρ ἐπεὶ δοράτεσσιν ἐπαρτήσαντο βοείας,
τεύχεά τε, κρυπτόν τε γάμων αἰδέσιμον ἔργον.
καὶ τότε παρθενίης νοσφίζετο κούρειον ἄνθος,
αἰνόγαμος μήδεια δυσαιωνοῖς ὑμεναίοις.
αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
κόλχοι καὶ μινύαι, καὶ ἐμυθήσαντο ἕκαστοι,
ἐκ δ' ἔλαχ' αἰσονίδης ἄλοχον μήδειαν ἀγέσθαι

καί ῥ' ἡ μὲν λωτὸν, ἡ δ' αὖ χέλυν ἔκβαλε χειρῶν,
δεινὰ δ' ἀνεστονάχησαν, ἐπεὶ πότμος ἤιε λυγρὸς
μοιριδίου θανάτοιο, σφέας δ' ἀπὸ ῥωχμάδος ἄκρης
ἐς βυθὸν δίσκευσαν ἁλιρροθίοιο θαλάσσης.
πέτραις δ' ἠλλάξαντο δέμας, μορφήν θ' ὑπέροπλον.
αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παράμειψε θέουσα
ἀργὼ, κῦμα δὲ πόντου καὶ κόλπον ἵκανε
λαιψηροῖς πλήθουσα κατὰ προτόνων ἀνέμοισι,
κέρκυραν ζαθέην ὀξίκετο, τήν σφιν ἔναιον
ἴδριες εἰρεσίης καὶ ἀλιπλάγκτοιο πορείης
φαίηκες, τοῖσι δ' ἄρ' ἐφημοσύνας θέμιστας
ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων.
πείσματα δ' ἁψάμενοι πορσύναμεν ἱερὰ θέντες
ζηνὶ πανομφαίῳ, καὶ ἐπ' ἀκτίῳ ἀπόλλωνι,
οἱ δ' ἄρ' ὑπ' εἰρεσίῃσιν ἐπειγόμενοι φορέοντο
νήεσσιν ἀφειρεσίαις βριαρὸς λόχος αἰήταο
κόλχων ἐρρώοντο· χαρανδαίων, σολύμων,
διζόμενοι μινύας τόφρ' αὖ μήδειαν ἄγοιντο
ὄψιν ἐς αἰήταο πατρὸς, τίσειν δ' ἀμοιβὰς
σφῆσιν ἀτασθαλίῃσιν ἀδελφειοῦ κταμένοιο,
ἀλλ' ὅτε δὴ κοίλου λιμένος μυχὸν ἄσσον ἵκοντο
αἶψα δ' ἄρ' ἀλκινόοιο δόμον κήρυκες ἔβαινον
μηδείης λῦτο γοῦνα δέος δ' ὤχρειε παρειὰς,
μὴ ἓ ἑλὼν ἀέκουσαν, ἑὸν πέμψε δόμον δὲ
φαιήκων βασιλεὺς, αἰνά πεσά τε ἔργα γένηται.
ἀλλ' οὐ οἱ τάδε μοῖρα τελεσσίνοος κατένευσε,
πρὶν δή τοι πελίαο δόμοις ἔπι λυγρὸν ὄλεθρον
αὐτῷ τε κρείοντι φέροι καὶ ἐνὸν οἶτον ἰήσων.
ἀλλ' ὅτε δὴ βασιλῆος ἀπηνέος ἔκλυεν αὐδὴν,

Νῆα δ' ἄρ' αὐτόθι κατίσχεν ῥόος, οὐδέ μιν ἄα
προπροθέειν, οὐδ' αὐλίκα ἀναδύσεσθαι ὀπίσω.
Κάλῳ ἐπὶ λυγρῷ δὲ περιστροφάδην ἀλάληκτο.
Ἡ τάχα καὶ δύσεσθ' ἀργὼ κατὰ βένθε' ἔμελλεν,
εἰ μὴ πρεσβύστη θυγάτηρ ἁλίοιο γέροντος
εὐρυβία πηλῆα πόσιν λελίητο ἰδέσθαι.
μειλιχίη δ' ἐκδῦτο βυθοῦ καὶ ῥύσατ' ὀλέθρου
ἀργῷον ἄκατον, καὶ ὑπ' ἰλύος ἐξεσάωσε.
δὴ τότε οἱ πλώοντες ἐπείχομεν, οὐ μάλα τηλοῦ
προβλῆτα σκόπελον, πέτρη δ' ἐφύπερθεν ἀπορρὼξ
Λισσὰς χηραμόνεσσιν ἐπιθρώσκουσα βιᾶται
πόντον ἔσω, χαροπὸν δ' ἄρ' ὑποβρέμει ἔνδοθι κῦμα.
Ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
Κοῦραι, ἀναστήτους δὲ βροτῶν θέλγουσιν ἀκουάς.
δὴ τότε δὴ μινύαισιν ἐφλύδανε πίστις ἀοιδῆς
συρήνων. οὐδέ σφι παραπλώεσθαι ἔμελλον
φθογγὴν οὐλομένην· χειρῶν δέ οἱ ἧκαν ἐρετμά.
ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνόν.
εἰ μὴ ἐγὼ φόρμιγγα πιτουνόμενος παλάμῃσι.
μητρὸς ἐμῆς ἐκέρασσ' ἐΰτερπέα κόσμον ἀοιδῆς.
Ἤειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον,
ὥς ποτε οἱ δήρισαν ἀελλοπόδων ὑπὲρ ἵππων.
ἀλλὰρ κυανοχαῖτα χολωσάμενος διὶ πατρὶ
τύψεν λυκτονίην γαίην χρυσᾶνι φιαένη,
καὶ ῥαίγδην διεσκέδασεν κατ' ἀπείρονα πόντον
νήσους εἰναλίας ἔμεναι, τὰς ῥ' ὀξονήμηναν
σαρδώ τ' εὔβοιάν τ' ἐπὶ δὲ κύπρον ἠνεμόεσσαν.
δὴ τότε φορμίζοντος ἀπὸ σκοπέλου νιφόεντος
σειρῆνες θάμβησαν, ἑὴν δ' ἄμπαυσαν ἀοιδήν.

Οὐ γὰρ τοι λελάθεσθ' ἄπερ ῥέξαντες ἵκεσθε.
νῆσον ἐφ' ἡμετέρην πανεπώσιοι, εἵνεκα πατρὸς
γηραιοῦ, καὶ σιός τε, τὸν ἐκ πάτρης ὀλέσατε.
οὐδὲ γὰρ ὔμμε πάρεσιν οἴομαι ἄσσον ἱκέσθαι
ἢ σὺν ἀναγνίσοισιν ἀλιτροσύναις ἀκέοντες.
μέσφ' ὅταν ἐκνίψησθε μύσος θείοισι καθαρμοῖς
ὀρφέως ἰδμοσύνῃσι παρὰ κροκάλῃσι μαλείης.
οὐδὲ γὰρ ἡμετέροιο δόμου θέμις ἐστὶν ἱκέσθαι
προστρόπους, τοίῳ γε λύγρῳ πεπαλαγμένα ἔστε.
ἀλλὰ μὲν αὐτίκ' ἐγὼ πρόφρων ξείνια πέμψω
σῖτον, καὶ μέθυ λαρὸν ἔχειν, σὺν δὲ κρέα πολλά.
Ως ἡ ποῦσ' ἄψορος ἀπέπτατο νηὶ δὲ μέσσῃ.
δαιτός τ' ἠδὲ ποτοῖο τετυγμένα τεύχε' ἔκειτο
αὐ δ' ἄρ' ἐπειγομένοισι θέεν λιγὺς οὖρος ἀήτης.
καὶ δή τε λυσάμενοι κάλως ἀπὸ πείσματα νήσου
κῦμα διαπρήσσοντες ἀνὰ στόμα τυρσηνοῖο
ἱκόμεθα, στήλαισι δ' ἐκέλσαμεν ἡρακλέος.
ἄκραις δ' ἀμφ' ἱεραῖσι διωνύσοιο ἄνακτος
μίμνομεν ἑσπέριοι, δαιτὸς γὰρ ἐδεύετο θυμός.
τῆμος γὰρ τολίαισιν ἐγείρετο φωσφόρος αἴγλη
ὄρθριοι ἀρεσίης γλαυκὴν ἐχαράξαμεν ἅλμην
σαρδῷον δ' ἱκόμεσθα βυθὸν, κόλπους τε λατίνων
Νήσους τ' αὐσονίας, τυρρηνάς δ' ἱξόμεθ' ἀκτὰς
αὐτὰρ ἐπεὶ λιλύβιον ἐπέσχομεν ἠχέτα πορθμὸν
φιλόχινά τε νῆσον ἐπέσχομεν ἐγκελάδοιο
αἰτναίη φλὸξ σφιν ἄρ' ἐρητύει μεμαῶτας,
δὴ τότ' ὑπὲρ πρώρης ὀλοὸν πελέζεν ὕδωρ
Νειόθεν, ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε χάρυβδις.
Κύματι καχλάζοντι καὶ ἱστίον ἄκρον ἵκανε.

νήσου ὑπὲρ ῥηγμῖνα, καὶ αἰγλήεντα πέρεμνα.
ἔνθ' οὔτις σὺν νηὶ παρὰ μερόπων ἀνθρώπων.
οὐ γὰρ σφι ἔπι λίμνη νηῶν ὀχὸς ἀμφελισσῶν.
ἀλλά γε ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
ὑψηλή· τά τε καλὰ φύει μενοεικέα δῶρα.
καὶ τότ' ἄρ' οὐκ ἀπίθησε νεὸς κυανοπρώροιο.
ἰθυντὼρ ἀγκαῖος ἀνέσχεθε δ' αἶψ' ἀνορούων,
σκαιὸν ὑπεγκλίνας οἰήϊον, ἐν δ' ἄρ' ἔπυθε
μήτι κατευθὺ περᾶν· ὑπὲρ δεξιὰ δ' ἦγε θέουσαν.
ἤματι δὲ τριτάτῳ κίρκης δόμον ἐξικόμεσθα.
λυκαῖον ποτὶ χέρσον· ἁλιστεφέας τε θεράπνας.
καὶ τότ' ἄρ' αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ.
πείσματα δ' ἐν πέτρῃσιν ἐδήσαμεν, ἐκ δ' ἄρ' ἰήσων
νηὸς ἀποπροέηκε μολεῖν ἐρίηρας ἑταίρους.
λιζόμενος τὶς ἄρ' ἀνθρώπων ἀν' ἀπείρονα γαῖαν
ναιετάει, γνῶεν, ἠδὲ πόλιν, καὶ ἤθεα λαῶν.
τοῖς δ' ἄφαρ ὡμάρτησε κατ' ἀντίον ἐρχομένοισι.
κούρη ὁμογνήτη τε μεγαλήφρονος αἰήταο
ἠελίου θυγάτηρ· κίρκην δέ ἑ κικλήσκουσι.
μήτηρ ἀστερόπη, καὶ τηλεφανὴς ὑπερίων.
ἦρα θοῶς ὑπὲρ νῆα κατήλυθεν. ἐκ δ' ἄρα πάντες
θάμβεον εἰσορόωντες. ἀπὸ κρατὸς γὰρ ἔθειραι
πυρσαῖς ἀκτίνεσσιν ἀλίγκιοι ἠώρηντο (αὔτμη.
στίλβε δὲ καλὰ πρόσωπα, φλογὸς· δ' ἀπέλαμπεν
ἀλλ' ἄρ' ἐπεὶ μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
λῖτι καλυπτομένην, ἑανῷ δ' ἀμφέσχε παρειάς.
αἰδομένη, χλωρὸν γὰρ ὑπὸ στέρνοις ἀνακέχυτο,
ἣν τότ' ἐποικτείρουσα προσηύδανε, καὶ φάτο κίρκη,
ὦ δειλή, τίνα σοι κύπρις ὤπασε μοῖραν.

ἔξεσθ' ἀμπέλαγος ἀτλαντικὸν εἰς ὃς ἵκωμαι.
ὣς ἤπυσ' αὐδὴν κατερήτυεν. ἐν δ' ἄρα θυμὸς
πυκνώθη μινύθουσι διαμπερὲς, εἴτ' ἄρ' ἔμελλον
χήσειν λυγρὸν ὄλεθρον ἰάσονος εἵνεκα φίλτρων.
πολλὰ δὲ μερμήριζον ἐνὶ φρεσὶ πευκαλίμοισιν.
ἢ μὲν ἀποφθίσωσι, καὶ ἰχθύσι κύρμα βάλωσιν
αἰνολέχην μήδειαν. ἀποστρέψωσι δὲ ἐριννύν.
εἰ μὴ ἄρ' ὀξὺ νόησε περικλυτὸς αἴσονος υἱός.
καὶ τότε λισσόμενος θυμὸν κατερήτυε ἑκάστου.
αὐτὰρ ἐπεὶ τ' ἀργοῦς ἐτυμηγόρον ἔκλυον ὀμφὴν,
ἥντο παρὰ σκαλμοῖσι θοῶς, λάζοντο δ' ἐρετμά.
ἀγκαῖος δ' οἴακας ἐπισταμένως ἐτίταινε.
παρ δ' ἄρα νῆσον ἄμειβεν ἱερνίδα. καί οἱ ὄπισθεν
ἵκτο καταίγδην δνοφερὴν φορέουσα θύελλαν.
ἐν δ' ὀθόνας κόλπωσε. θέεν δ' ἄφαρ ὑγρ' ἐπ' οἶδμα
νηῦς. οὐδέ τις ἐς αὖθις ἀναπλεύσεσθαι ὀλέθρου
ἤλπετο. δωδεκάτη γὰρ ἐπήιεν ἠριγένεια.
οὐδέ τις ἔγνω ἦσιν ἐνὶ φρεσὶν, ὅποτ' ἄρ' ἐσμὲν,
εἰ μὴ ἐσχατιῆς ἀκαλαρρόου ὠκεανοῖο
λυγκεὺς ἐστενόησεν. ὁ γὰρ τηλωπὸν ὄπωπε
νῆσον πευκήεσσαν, ἰδ' εὐρέα δώματ' ἀνάσσης
δήμητρος, περὶ δ' αὖτε μέγα νέφος ἐστεφάνωται,
ἣν πέρι μῦθον ἅπαντ' ἔκλυεν μουσαῖε δαίφρον.
ὥς ποτε φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν
ἐξαπάφον συνόμαιμοι ἀν' εὐρύτε, καὶ μέγα ἄλσος.
ἀλλ' ἄρ' ἔπειθ' ὥς μιν πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος, κούρην ἐπεβήσατο δαίμονος αἴσῃ,
ἁρπάξας δ' ἔφερεν διὰ κύματος ἀτρυγέτοιο.
δὴ τότ' ἐγὼ ἀπόειπον ἐπιπλώοντα νέεσθαι.

καὶ δ' αὖ αἱ ψυχαὶ μετεκίαθον εἰς ἀχέροντα
πορθμίδος ἐκ γλαφυρῆς. σχεδόθεν δέ οἱ εἰσὶ πόληος,
ἄρρηκτοί τ' ἀΐδαο πύλαι, καὶ δῆμος ὀνείρων.
ἀλλ' ὅτε δὴ καὶ τῶνδε πόλιν καὶ ἤθεα λαῶν
σφῇ ἄτῃ βαρὺν οἶτον ἀναπλώσαντες ἔβημεν
δὴ ῥα τότ' ἀγκαῖος νηὸς κίεν, αἶψα δὲ πάντας
εἰσβαίνειν ἐκέλευσε κεκμηῶτας ἄμμιγ' ἑταίρους.
τῇ ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι.
Τλῆτε φίλοι τὸν μόχθον, ἐπεὶ νύ τοι οὔ τοι χέρειον
ἔλπομαι αἰσήσεσθαι. ἐπιφρίσσοντα γὰρ ἤδη
ἀκραῆ ζέφυρον καταδέρκομαι, οὐδ' ἀτέκμαρτον
ὕδωρ ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν,
ἀλλὰ θοῶς ἱστὸν μὲν ἀναστήσασθε μεσόδμη.
Λύσατε δὲ προτόνων ὀθόνας. ἐκ δ' ὅπλα χέοντες
σφίγξατ' ἐπισταμένως. τοῖχον ἑκάτερθε βαλόντες.
ὣς οἱ μὲν, τὰ ἕκαστα πινέατο, ἐκ δ' ἄρα κοίλης
Νηὸς ἐπιβρομέουσα τὸ μαντιὰς ἔκλαγε φηγός.
Ἣν ποθ' ὑπ' ἀργώαισι τομαῖς ἡρμόσατο Παλλάς.
ὧδε δ' ἔφη, θάμβος δὲ περὶ φρένας ἵκετο πάντας.
ὤμοι ἐγών, ὄφελόν με διαρρεσθεῖσαν ὀλέσθαι
Κυανέαις πέτραισιν ἐν ἀξείνῳ τε κλύδωνι,
Ἢ καὶ νῦν ἀνάπυστον ἀϊδρείῃ βασιλήων
Νώνυμνον φορέεσκον, ἐπεὶ νῶϊν αἰεὶ ἐριννὺς,
αἵματος ἐμφύλοιο δεδουπότος ἀψύρτοιο
ὑστερόποις ἕπεται. στέργει δέ τοι ἄτη ἐπ' ἄτην.
Νῦν γὰρ δὴ λυγρῆς τε καὶ ἀργεινῆς κακότητος
Ἐξομαι εἰ νήεσσιν ἐριννύσιν ἄσσον ἵκωμαι.
εἰ μὴ γάρ μ' ἱερῆσιν ἐπιγνάψαντες ἄκρῃσι
Κόλπον ἔσω γαίης τε, καὶ ἀτρυγέτοιο θαλάσσης

Υπνῳ ὑπὸ γλυκερῷ θανάτου μάρπτουσι τελευτὴν,
οὐδ' ἄρα τοῖσι μέλει βίοτος, καὶ ἔργ' ἀνθρώπων.
ποίαις δ' ἐν μεσάταις μελιηδέα φέρβα νέμονται.
Ερσῃ ὑπ' ἀμβροσίῃ θεῖον ποτὸν ἐξαρύοντες.
πάντες ὁμῶς στίλβοντες ὁμηλικίην ἐρατεινὴν,
Μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι νεῦσε γαλήνη
παίδεσιν, ἠδὲ τοκεῦσιν ἐνὶ φρεσὶν, ἠδὲ νόοιο.
αἴσιμά τε ῥέζειν, πεπνυμένα τ' ἐξαγορεύειν.
καὶ τῶν μὲν ῥ' ἀθρόους παραμείβομεν· αἰγιαλὸν δὲ
ποσὶν ἐπιστείβοντες· ἔπειτα δὲ κιμμερίοισι
Νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριβρόμου ἠελίοιο.
ἐν μὲν γὰρ ῥίπαιον ὄρος καὶ κάλπιος αὐχὴν
Αντολίας εἴργουσ' ἐπικέκλιται δὲ πελώρη
Ασσον ἐπισκιάζουσα μεσημβρινὸν ἠέρα φλέγρη.
Δείελον αὖ κρύπτουσι φαὸς τ' αἰνωκέες ἄλπεις
Κείνοισι μερόπεσσιν, ἄχλυς δ' ἐπικέκλιται αἰεί.
ἐνθάδ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν
Ιξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτήν.
ἔνθά τ' ἀμβλύζων ποταμὸς δίναισι βαθείαις
Θείει χρυσορρόας ἀχέρων κρυεροῦ διὰ χώρου.
ἀργυροειδὲς ὕδωρ προρρέων, λίμνη τε κελαινὴ
Ανδέχεται, παταγεῖ δὲ παρ' ὄχθαισι ποταμοῖο
Δένδρα τηλεθάοντα, ποτὶ σχεδὸν, οἷσι καρπὸς
Βέβριθε νύκτας τε, καὶ ἤματα συνεχὲς αἰεί.
Αμφὶ δέ οἱ χθαμαλή τε, καὶ εὔβοτος ἑρμιονία.
Τείχεσιν ἠρήρεισται ἐϋκτιμέναις ἐπ' ἀγυιαῖς.
ἐν δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων.
οἷσιν ἀποφθιμένοισιν ἄλις ναῦς ἴα τέτυκται.

πόντοι ὑπερβορέων μερόπων, νεκρῶν τε θάλασσαν.
οὐκέτι δὲ προφυγεῖν ἐδοκεῦμεν λυγρὸν ὄλεθρον,
εἰ μὴ ἄρ' ὁρμαίνουσαν ὑπὸ κρατερῇσι βίῃσι
νῆα μολεῖν ἰθὺν ἐπὶ δεξιὸν αἰγιαλοῖο
ἀγκαῖος ξεστοῖσι πιθήσας πηδαλίοισιν.
ἡ δ' ἔθορεν δισσαῖσι βιησαμένη παλάμῃσιν.
ἀλλ' ὅτε δὴ μογερῇσιν ἐδαμνάμεθ' εἰρεσίῃσι.
χέρσου δ' οὐκέτ' ἔμιμνον. ἀκηχέμενοι δὲ φίλον κῆρ
πήχεας ἀμπλέξαντες, ἐνερείσαντο μέτωπα.
ἱδρῷ ἀναψύχοντι κέαρ δ' ἐπετείρετο λιμῷ.
ἀγκαῖος δ' ἐξάλτο, καὶ ἄλλους πάντας ὄφωσεν,
ἥρωας μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
οἱ δ' ἐπεὶ οὖν τέναγός τε πολυστρέπτοισι κάλωσι
βάντες ὑπὲρ τοίχων ἅλα δὲ σφυρὰ κοῦρα βάλοιντο
ὦκα δ' ἄρ' ἀρτήσαντο πολυστρέπτοισι κάλωσι
πρύμνης ἐξ ὑπάτης δολιχὴν μήρινθα βαλόντες
ἄργος, σ' ἀγκαῖός τε καὶ ἀρχὰς δῶκεν ἑλέσθαι
ἡρώων. τοὶ δ' αἶψα δι' αἰγιαλοῖο θέοντες
σύρον ἐπειγόμενοι· σὺν δ' ἕσπετο ποντοπόρος νηῦς
τέμνουσ' ὑγρὰ κέλευθα παρὰ ξυστοῖς κροκάλοισιν.
οὐ γὰρ ἐλιγὺς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε
βυκτάων ἀνέμων κλειτὴν ἅλα. κωφὰ δὲ πόντος
κεῖθ'. ὑπὲρ Ἑλίκης καὶ τηθύος ἔσχατον ὕδωρ.
αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
ἔθνος ἐς ἀφνειὸν, καὶ πλούσιον ἐξικόμεσθα
μακροβίων. οἳ δὴ πολλέας ζώουσ' ἐνιαυτοὺς,
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων,
πλωτούσης μήνης, χαλεπῶν ἔκτοσθεν ἁπάντων,
αὐτὰρ ἐπεὶ μηνὸς τὸ πεπρωμένον ἐξανύσωσιν,

τὸν ῥα πλημμύρουσα διὰ χθονὸς, ἐς ἅλα πέμπει
μαιῶτις καναχηδὸν ἐλισσομένου διὰ ποίης.
καὶ τότ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα, καὶ ἦμαρ.
διασχεῖς δ' ἐν φιμόροισι βοὸς πόρον ἐξικόμεσθα
λίμνης· ὅν τε μεσυγύβοιο κλόπος οὔ ποτε τιτὰν
ταύρῳ ἐφεζόμενος βελιαρῷ πόρον ἔσχισε λίμνης.
καὶ ῥ' ἀπανημερίησι πονεύμενοι εἰρεσίῃσι
μαιώτας πρώτας ἀφικάνομεν ἀβροχίτωνας,
ἠδὲ γελωνὸν ἔθνος, βαθυχαίτων τ' ἄπλετα φῦλα.
σαυρομάτας τε, γέτας τε κεγυμναίους, κέκρυφάς τε,
ἀρσωπάς τ' ἀριμάσθας ἔθνη πολυπήμονα λαῶν.
ὧν περιναιετάει ἐν γῇ μαιώτιδα λίμνην.
ἀλλ' ἄρ ἐπεὶ κἀν τοῖσι δύην ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, πύματον δὲ βυθοῦ διαμείψαμεν ὕδωρ
ὄχθῃσι χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον
ῥείζω ἐλαυνομένη καναχεῖ δέ τοι ἄσπετος ὕλη.
ἀρκτῴοις περάτεσσιν ἐπέρχεται ὠκεανόν δε.
τῷ ῥα ποτ' ἀρπαχθεῖσα διὰ στόματος κίεν ἀργώ.
ἐννέα μὲν νύκτας τε, καὶ ἤματα μοχθίζοντες
λάπομεν ἔνθα καὶ ἔνθα, βροτῶν ἀπηνέα φῦλα
πακτῶν ἀρκτείων τε γένος, λελίων τ' ἀγκερώχων.
τοξοφόρους τε σκύθας ἄρεος πιστοὺς θεράποντας,
ταύρους τ' ἀνδροφόνους· οἳ ἀμειδέα θύσθλα φέρουσι
μουνυχίῃ βροτέῳ δ' αὐτὴ δεύεται αἵματι κρητήρ.
ἀνδρ' ἄρ' ὑπερβορέους νομάδας, καὶ κάσπιον ἔθνος.
ἀλλ' ἄρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ' ἄφαρ ἀργὼ
ἄγεν αὖτις προθέουσα διὰ στεινοῖο ῥεέθρου.
ἔμπεσε δ' ὠκεανῷ, κρόνιον δὲ ἑ κικλήσκουσι

Ὠκα δ' ἄρ' ἀψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν.
μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὅπατρον.
Ἀλλ' ὅ γ' ὠκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
εἰς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αὐτήν.
Νὺξ δὲ τότ' ἀστροχίτων μέσατον παραμείβε πορείαν,
Ἐκ δ' ἐτελεῖτο δόλος στυγερός, καὶ κῆρες ἀΐδναι
Μηδείης ὑπ' ἔρωτος ἐειλυτοῦ ἀψύρτοιο.
Ὃν ῥα κατακτείναντες, ἐπὶ προχοὰς μεθέηκαν
Ὀρνυμένου ποταμοῖο· φέρεν δ' ὅ γε πνι ἰκραιπνῷ.
Θεινόμενος δὲ δίναις, εἰς κῦμ' ἁλὸς ἀτρυγέτοιο
Κέλσεν ὑπὲρ νήσων, ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλ' ἄρα οὔτι λάθον δῖ' ἐπόψιον, ἠδὲ θέμιστας.
αὐτὰρ ἐπὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἐκάτερθεν
Ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίης δὲ θοῇσι.
πλεῖον ἐπειγόμενοι ποταμοῦ τάμον, οὔτι κατ' βύθου
πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα φάσιδος εὐρὺ
Ἱέμεθ', ἀμπλακίῃ δ' ἐφορεύμεθα πολλὸν ὀπίσσω
αἰὲν ἀναπλέοντες, ἔλειπε τὸ δ' ἄστεα κόλχων.
ἀφραδέῃ μινύαις, σκοτερὴ δέ τε ἀμφέχεν ὄρφνη.
αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι
μεσάτιον πεδίοιο, βροτοὶ δέ μιν ἀμφινέμονται
γυμνοί, βυνόμαι τε, καὶ ἀρκινδοῦ ἀγροιῶται,
Κερκετικῶν τ' ἀνδρῶν φῦλον, σιντῶν τ' ἀϊερώχων.
οἳ μήσαντο μεσηγὺ χαρανδαίων τ' αὐλάνων
Καυσάκιον παρὰ πρῶνα, διὰ στεινῆς ἐρυθείας.
Ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἐνθάδε δισσοὶ
χεύμασιν ἀπλώτοισι περισχίζουσι ῥέεθρα,
φᾶσις τ' εὐρυμενὴς, ἀκαλαρρέτης τε σαράγης.

Ἂν δ' ὅλον οὐ σύμιγξ', αὐτὰρ δ' ἔβραχεν ἄσπετος αἰθήρ.
Δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα
Κρημνόθεν ἐκ ῥίζης, ἰάχησε δὲ σύσκιον ἄλσος.
ἀλλ' ἄρ' ἐμὴ ὅδ' ἑτάρους φόβος ἔλαβε, νόσφι δὲ μούνη
Μήδει' ἐνὶ στέρνοις ἀκαμπέα θυμὸν ἐνώμα.
δρέψατο γὰρ παλάμῃσι λυγρῶν ἀποθρίσματα ῥιζῶν
καὶ τότ' ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφήν.
Κλάγξας δ' ἀρ' ὀξὺ ὑπάτης χέλυος καρυκχέα φωνήν
σμερδαλέως ἄφθεγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπον.
Κλῇξα γὰρ ὕπνον ἄνακτα θεῶν, πάντων τ' ἀνθρώπων
Ὄφρα μολὼν, θέλξειε μένος βλοσυροῖο δράκοντος.
εἶμφα δέ μοι ὑπάκουσε, κυτηίδα δ' ἦκ' αὐτὴ καῖαν.
Κοιμίσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοιὰς, καὶ κύματα πόντου,
πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα,
Θῆράς τ' οἰωνούς τε, τά τε ζώει τε, καὶ ἕρπει
εὐνάζων ἄμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
Ἷξε δ' ὑπὸ συφελὸν Κόλχων εὐανθέα χῶρον.
Κῶμα δ' ἄφαρ κατέμαρψε πελώρια ὄσσε δράκοντος
Ἰσοπαλεῖ θανάτῳ, δολιχὴν δ' ἀμφ' αὐχένι δειρὴν
Θῆκε καρηβαρέων φολίσιν· θάμβησε δ' ἰδοῦσα
αἰνόποτμος Μήδεια, καὶ Αἴσονος ἀγλαὸν υἷα
Ἦκ' αὐτὴ θαρσοῦσα θοῶς πρέμνοιο λαβέσθαι
Κῶας χρυσόμαλλον, ὁ δ' οὐκ ἀπίθησεν ἀθρήσας.
ἀλλ' ἀειράμενος δέρας ἄπλετον, ἷκτ' αὐτὴ νῆα.
Ἥρωες μηνύει μέγ' ἐγήθεον, αὐτὰρ ἄρα χεῖρας
Ἀθανάτοις ἤειραν οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ὡς οἱ μὲν περὶ κῶας ὀπώπεον, αἶψα δ' Αἰήτης
Ἀμφιπόλων ἤκουσεν ἀποιχομένην Μήδειαν.

κρύων ἐλλισάμην, αἶψ' ὀφαλέως ἐπάκουσαι·
ῥήξασαι κευθμῶνας ἀμειδήτοιο βερέθρου
τισιφόνη τε, καὶ ἀλληκτὼ, καὶ δῖα μέγαιρα.
πεύκαις ἀζαλέαις φόνιον σέλας ἀΐσσουσαι·
καίετο δ' αὐτίκα βόθρος ἐς μαρμάγει δ' ὀλοὸν πῦρ·
λιγνὺς δ' αἰθαλόεσσα χύθη περιμήκετα καπνόν·
αὐτίκα δ' ἐξ ἀΐδαο διὰ φλογὸς ἠγέρθησαν·
δειναὶ, θαμβήτειραι, ἀπηνέες, ἀπροσόρατοι·
ἡ μὲν γὰρ δέμας ἔσχε σιδήρεον, ἣν καλέουσι
πανδώρην χθόνιοι, σὺν δ' αἰολόμορφος ἵκανε
τρισσοκέφαλος, ἰδεῖν ὀλοὸν τέρας, οὔτι δαητόν.
ταρταρόπαις ἑκάτη. λαιοῦ δ' ἄρ' ἐπέσσυθεν ὤμου
ἵππος χαιτήεις· κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι
λυσσῶπις σκυλάκη. μέσση δ' ἔφυ ἀγριόμορφος·
χερσὶν δ' ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα·
ἐγκύκλιαι δὲ δίνευντο περὶ βόθρον ἔνθα καὶ ἔνθα
πανδώρη· ἑκάτη τε συνεσσεύοντο δὲ ποιναί.
ἐκ δ' ἄφαρ ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε
πεύκας ἐκ χειρῶν, ἐς δ' οὐρανὸν ἦραρεν ὄσσε,
σαῖνον δὲ σκύλακες πρόπολοι, λύοντο δ' ὀχῆες
κλήθρων ἀργυρέων, ἀνὰ δ' ἔπτατο καλὰ θύρετρα
τείχεος εὐρυμενοῦς. ὑπεφαίνετο δ' ἄλσος ἐρυμνόν·
αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην. τῆμος δέ τε κούρη
αἰήτου μήδεια. καὶ αἴσονος ἀγλαὸς υἱός.
τυνδαρίδαι τ' ἤπειγον ὁμοῦ, σὺν δ' ἕσπετο μόψος.
ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐραννὴ,
κρηπίς τε ξενίοιο διὸς, καὶ βωμὸς ἕδρη.
ἔνθα δράκων ὁλκοῖσιν ὑπὸ πλατέεσσιν ἑλιχθεὶς
δινεύων ἀνάειρε κάρα, βλοσυρόν τε γένειον.

δίζομεθ', ἢ μὲν ἄεθλον ὀϊζυροῖο πόνοιο
ὡς κεῖνιν ἀγροτέρην μειλιξάμενοι πεπίθοιμεν.
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσωμεν ἑὴν ἐς πατρίδα γαῖαν,
καὶ τότε δὴ μὲν πᾶσιν ὁμόκλεεν ἡρώεσσι
Μόψος. ὃ γάρ τ' ἐδάη σφῖσι τάδε μαντοσύνῃσιν
ὄφρ' ἐμὲ γουνάσωνται ἐπισπεύσωσι δ' ἔργον
Ἄρτεμιν ἱλάσθαι θέλξαι δ' ὑπερώρια θῆρα,
ὣς οἱ μὲν λίσσοντο περισταδὸν, αὐτὰρ ἔγωγε
Αἰσονίδην ἐκέλευσα δύω δὴ φῶτε κραταιὼ
Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
Μόψον τ' Ἀμπυκίδην ἰέναι παρὸς πέρματα μόχθου.
αὐτὰρ ἐμοὶ Μήδεια συνέσπετο μούνη ἀπ' ἄλλων
ὦκα δ' ἐς σηκοὺς ἱκόμην. ζάθεόν τε θεράπνην
χώρῳ ἐνὶ πλακόεντι βόθρον τρίστοιχον ὄρυξα.
φιτρούς τ' ἀρκεύθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου.
ῥάμνου τ' ὀξυτέροιο πολυκλαύτων τ' αἰγείρων
ὦκα φέρων νήησα πυρὴν ἐμπλεῖσθαι βόθροιο.
πολλὰ δέ μοι φέρε πάμπαν ἐπισταμένη Μήδεια
φωριαμοῦ ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
αὐτίκα δ' οὖ λαοπλάσμαθ' ὑπὸ πέπλους ἐπονούμην
αὖ δὲ πυρὴν ἐπέβαλλον, ἰδ' ἐν τομαῖς θύματ' ἔρεζον
σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύσας
αἵματι δ' αὖ χάλκανθον ἰδὲ στρούθιον ἔμιξα
κνῆκόν τε, χιστὴν, ἐπί τε ψύλλιον ἀειδὲς,
ἄγχουσάν τ' ἐρυθρὴν, ἰδὲ χάλκιμον, αὐτὰρ ἔπειτα
νηδύας ἐμπλήσας σκυλάκων, φιτροῖσιν ἔθηκα.
ὕδατι, ὅξ δ' αὖ μας χολάδας χεόμην περὶ βόθρον
ὄρφνινα θ' ἑσσάμενος φάρη, καὶ ἀπεχθέα χαλκὸν

ἐν δ' ἄπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας.
εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια.
Λύσσαν ἐπιπλείουσα ὑπὲρ χαλινοῖς σκυλάκεσσιν
ἐν δέ σφιν πυμάτων μυχῶν ἕρκεος ἄλσος ἀμείβει
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
δάφναι τ' ἠδὲ κράνειαι. ἰδ' εὐμήκεις πλατάνιστοι.
ἐν δὲ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν.
ἀσφόδελος, κλύμενός τε, καὶ εὐειδὴς ἀδίαντος.
καὶ θρύον, ἠδὲ κύπειρον, ἀριστερέων τ' ἀμενηνά.
ὅρμινόν τε καὶ ἐρύσιμον, κυκλαμίς τε θηλυδής.
στοιχὰς, παιονίη τε κατηρεφές τε πολύκνημον.
μανδραγόρης, πόλιόν τ' ἐπὶ δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος τε ἰδὲ κάρδαμον, ἐν δ' ἄρα κῆμος
σμίλαξ, ἠδὲ χαμαίμηλον, μήκων τε μέλαινα,
ἄλκυα, καὶ πάνακες καὶ κάρπασον, ἠδ' ἀκόνιτον.
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πεφύκει,
μέσσον δ' ἠερόμηκες ἐπὶ στύπος ἄλσεϊ πολλῷ.
ἥπλωται φηγοῖο περὶξ κλαδέεσσιν ἐρυμνὸν,
ἐν δ' ἄρα οἱ χρύσειον ἐπεκρέματ' ἔνθα καὶ ἔνθα
ὅρπηκος τανάοιο δέρας, τόκεν αἶψα δοκεύει
δεινὸς ὄφις θνητοῖς ὀλοὸν τέρας, οὐ φατὸν ἠπεῖρ.
χρυσαῖς γὰρ φολίδεσσιν ἐθάρεται, ἐν δ' ἄρα πέμνον
ἀπλάτοις ὁλκοῖσι φορεύμενος ἀμφιπλέει
σῆμα χαμαιζήλοιο διὸς, πτηκῶσας ἀμείβων
φρουραῖς ἀδμήτοις δ' ἐπιμαίεται ἄμμορος ὕπνου
γλαυκοῖς ἀμφ' ὄσσοισιν αἰαυδέα κανθὸν ἑλίσσων.
ἀλλ' ἄρ ἐπεὶ κλύομεν τόδ' ἐτήτυμον, ὡς ἐτέτυκτο
ἀμφί γε μουνυχίης ἑκάτης φρουρῆς τε δράκοντος
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως μήδεια

Νηός· ἐπ' ἀργῴας πελάσαι, καὶ πότνι' ἀνάγκη
Οὔτιν' ὀπιζομένη πατρὸς χόλον οὐκ ἀλέγουσα·
Ἠδ' ὡς ἀμφιπλακεῖσα περιπτύξασα τε μορφάς·
στέρνά τε μαιμώωσα κύσεν, χαρίεν τε πρόσωπον·
Δάκρυσι πλημμύρουσα γενειάδας· οὐδέ τιν' αἰδῶ
Ἔσχε πόθων ἥρωος· ἐλαυνομένη δ' ὑπὸ φίλτρων·
παρθενίην ἔρριψε· γάμων τ' ὠνήρονα θυμόν·
Ἀλλά τ' αὖ πολλὰ καὶ ὕστερον αὖθις ἀκοῦσαι·
ἀλλ' ὅτε δὴ μήδεια λίπεν δόμον αἰήταο
Λαθεαδίη, καὶ νηὸς ἐφ' ἡμετέρης ἐπελάσθη,
δὴ τότ' ἄρα καὶ θυμὸν ἐμηδόμεθ' ὄφρα μολόντες
Ἀμφ' ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν·
Ῥᾶστα, περὶ φρεσὶ δ' ἥσι δοκεύομεν, οὐδέ τις ἡμῶν
Ἔγνω μόχθον ἄελπτον, ἐφέσπετο γὰρ μέγα ἔργον
πᾶσιν ἐφ' ἡρώεσσι, κακῶν δ' ἀνεφαίνετο πυθμήν·
πρόσθε γὰρ αἰήταο δόμων ποταμοῖο τ' ἐρυμνοῦ
Ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον αὐτὴν
Φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν
Ἑπτὰ περιστεφέεσσι κυκλούμενον, ἐν δ' ἄρα φισαὶ
χαλκήρεις πυλαὶ ᾗσι πελώριοι, ἐν δ' ἄρα ταῖσι
Τεῖχος ἀνθρώσκει· περὶ δ' αὖ χρύσειαι ἐπάλξεις·
ἀλλὰ παρ' αὐτοῦ σταθμοῖο πυλῶν τηλωπὶς ἄνασσα
Ἵσταται αἰθύουσα πυρὸς σέλας, ἣν κείνην κόλχοι
ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται·
Δεινὴν τ' ἀνθρώποισιν ἰδεῖν, δεινὴν τ' ἐσακοῦσαι·
εἰ μήτις τελεταῖς πελάσει, καὶ θύσθλα καθαρμῶν·
Ὅσσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθε
Δεινολεχὴς μήδεια κυνηιάσιν μίγα κούραις·
Οὐδέ τις ἐνδοτέρω κείνην ὁδὸν ἐστιπέρησεν·

ἐν δέ τι ος

εἰ δέ κέ μοι πείθησθε τὸ καὶ πολὺ κέρδιόν ἐστι.
Κρίναντες τὸν ἄριστον, ἢ ὃς βασιλεύτερος ἐστίν.
Ὄφρα γε πειρηθεὶς ἀέθλων οὓς αὐτὸς ἐνίσπω.
Κῶας ἕλῃ χρύσειον, ὃ καὶ γέρας ἔσσεται ὑμῖν.
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο, τοὶ δ' ἄρ' ὀπίσσω.
Βῆσαν ἀμειβόμενοι· μινύαις δ' ἄχος ἔπλετο θυμῷ.
καί ῥα τόθ' ἡρακλῆος ἔχον πόθον. οὐ γὰρ ἔμιμνον.
Ἔθνος ἀμαιμάκετον κόλχων· καὶ θούειον ἄρην.
Νῦν δέ σοι ὦ μουσαῖε παραδρομάδην ἀγορεύσω.
Οἷά περ αἰνόμοροι μινύαι πάθον, ἠδ' ὅσ' ἔρεξαν.
Ὥς τ' ἄψορρος ὄρουσ' ἐκ δώματος αἰήταο.
ἄργος ἐϋμμελίης φρίξου πάϊς ὅν ῥα ἔτικτε
Χαλκιόπη. τῷ γὰρ παρελέξατο πατρὸς ἐνιπῇ.
Ἡνίχ' ὑπὲρ νώτω κείνου κόλχοισι πελάσθη.
ἀγγέλων μινύαισιν, ἃ δὴ τελέεσθαι ἔμελλε.
Σφῆσιν ἀτασθαλίῃσι πολυφθόρου αἰήταο.
Ἠδ' ὡς παρθενίοις αὐτοῦ φίλτροις ἐδαμάσθη.
αἰνόγαμος μήδεια θεᾶς ἥρης διὰ βουλάς.
ἐν γὰρ οἱ ἵμερον ἐρωτοτρόφη κυθέρεια.
Ἧκε δ' ἄρ' ᾑὸν ὑπὸ σπλάγχνοις δασπῆτις ἐριννύς,
Ὥς τε βόας ζεύγλαισι δαμάσατο πυρὶ πνέοντας.
τετράγυον θέμενος σπόρον αὔλακι, τόν ῥ' ἐκόμισε
φρίξος εὐμελίης, ὅτ' ἔβη δόμον αἰήταο.
Ἔδνον ἐνυάλιόν τε δρακοντέων ἀπ' ὀδόντων.
Ἠδ' ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν,
ἀλλοφόνῳ παλάμῃ. πῶς δ' ἀπλαὸν ἤρατο κῦδος
αἰσονίδης. ὥς τ' ἦλθε δι' ἐκ μεγάρων λελαθοῦσα
Λῖπ καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην,
παρθένος αἰνολεχής· περὶ γὰρ ῥ' ἀέτερον ἔρωτες

Ἔκποθεν ἐλθομένοισι κυτηίδα γαῖαν ἀμεῖψαι.
Οὐδ' ἄρ' ἐμὴν ἀλέγοντες ἀνακτορίην πεφόβησθε.
Οὐδὲ λεὼν καὶ ἑτέροισιν ὑπέρτερον ἡμετέροισι
Κόλχων, οἷσιν Ἄρηι δ' ὁρμᾶσθαι ἤδη ἀτηρῆς
μόθου ἱεμένοις. οὐδ' εἰδότες ἶφι μάχεσθαι.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
αἰσονίδῃ δ' ἄρα θάρσος ἐνὶ πραπίδεσσιν ὄπασσεν
Ἥρη πρέσβα θεά· μέγα δ' ἀντάχων ἐγεγώνει.
Οὔτε νυ ληιστῆρες ἱκάνομεν, οὔτε τιν' ἄλλην
γαῖαν ἐπιστρωφῶντες ἐγείρομεν ὕβριος αἴσῃ.
ἔργ' ἀδίκ' ἀνθρώποισιν, ἃ δὴ πολέσιν μεμάασι.
πλαζόμεν' ἐν βιοτῇ κέρδους ἕνεκεν σφετέροιο.
ἀλλά μοι ἆθλον ἔταξε ποσειδάωνος φίλος υἱὸς
πατροκασίγνητος πελίας. χρύσειον ποτὶ κῶας
λαζομένους ἀφικέσθαι ἐϋκτιμένην ἐς ἰωλκόν.
Ἤδη τι δὴ νώνυμοι ἐμοὶ ἐρίηρες ἑταῖροι.
Οἱ μὲν γὰρ μακάρων. οἱ δ' ἡρώων γένος ἐσμέν.
Οὐδέ τι μὴν πολέμων ἀδαήμονες, οὐδὲ μόθοιο.
Ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέστιοι. ὡς γὰρ ἄμεινον.
Ὣς φάτο τοῦ δ' ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ
αἰήτεω· καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσιν.
φρικτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.
ὀψὲ δὲ δὴ μινύαισι τοίην ἀνενείκατο φωνήν.
Ἢ μὲν δὴ κόλχοισιν ἀρηιφάτοισιν ἐσάντα.
μαρναμένοις ἐπιθῆσθον, ἀποφθίσειν μένος ἄνδρας
Ἔλπεσθ' ὥς κεν ἀδήιτον γέρας ἔσσετ' ἐν ὑμῖν.
κῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν.
Ἠδέ γε ταῦροι ἐόντες ὑποκλίνητε φάλαγγι
Ἡμετέροι, τότε νῆα καταφθιμένοισι κεάξαι.

τυχὰς θ' ἡρώων ὅσσαι τ' ἐπὶ ῥέεθρον ἄμειβον.
Θυγατέρας δ' ἔκλυζε θυώδεος ἐκ θαλάμοιο
χαλκιόπην σὺν παισὶν ἀποφθιμένου φρίξοιο.
Ἠδ' ἁπαλὴν μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν
παρθένον αἰδοίην. ὄφρ' αὖ συνέποιντο κιόντι.
Ἄψυρτος δ' ἀπάνευθε δόμοις ναίεσκε πόληος.
ἅρμα δ' ἐπὶ χρύσειον ἔβη μέγα θυγατέρεσσιν
αἰήτης. τὸν δ' αἶψα δι' ἐκ πεδίον φέρον ἵπποι.
Χεῖλος ὑπὲρ ποταμοῦ δονακώδεος ἔνθα περ αἰεὶ
εὐχωλὰς ῥέθροισι. καὶ ἱερὰ καλ' ἐκόμιζον.
Κείναισι δ' ὄχθαισιν ὑπόδρομος ἤλυθεν ἀργὼ,
Καί ῥα τότ' αἰήτης ἀσέδραμεν ἐν δ' ἄρα πολλοὺς
ἐξείης ἥρωας ὁμιλαδὸν εἰσορόωντας
Ἀθανάτοις ἰκέλους, περὶ γὰρ ῥα ἑ τεύχεα λάμπε·
τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε δῖος ἰήσων.
Ἥρη γὰρ περὶ πάμπαν ἐπίετο. καί οἱ ἔδωκε
Κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον.
ἀλλ' ὅτε δὴ σχεδὸν ὄντες ἐπ' ἀλλήλοις βάλον ὄσσε·
αἰήτης μινύαι τε περὶ φρένα παχνώθησαν.
πρόσθε γὰρ αἰήτης μὲν ἐφ' ἅρματος ἠέλιος ὥς.
Λάμπετο μαρμαρυγαῖσι περὶ χρυσέων ἀπὸ πέπλων
ἀμφὶ δέ οἱ στεφάνην κεφαλὴ ἔχε θυσανόεσσαν
ἀκτῖσιν φλογέαις· σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα.
Ἀστεροπαῖς ἴκελον, δοιὼ δ' ἑκάτερθεν ἔηστεν
θυγατέρες. παῖς γάρ κεν ἀγαλλόμενος πεφόρητο.
σμερδνὸν ὑπ' ὀφθαλμοῖσι δ' ἐσέδρακε νηὶ πελασθείς
Καί οἱ ἀπὸ στηθέων βαρείην ἀνενείκατο φωνήν.
Δεινὸν ὁμοκλήσας, μέγα δ' αὐτίαχων ἐγεγώνει.
Φράζετον ἅ τινες ἐστέ· τί δὲ χρέος ὑμᾶς ἱκάνει.

Αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα πλωτὸν ῥέοντος
ἱκόμεθ', αὐτίκ' ἄρα στέφανον καὶ τεῖχος ἐρυμνὸν
αἰήτου κατέφαινε καὶ ἄλσεα· τοῖς ἐνὶ κῶας
χρύσεον ἠώρητο χαλαζήεν ἐπὶ φηγῷ.
Ὡς οἱ μὲν, τὰ ἕκαστα πονήσατο, αὐτὰρ ἰήσων·
αὐτίκα μερμήρει κατὰ φρένα καὶ κατὰ θυμὸν.
Ξυνὴν μὲν μινύαισιν ἄδηλον ἀνεκείκατο φωνήν.
Ἠέ γ' ἐπ' αἰήταο μολὼν δόμον οἶος ἀπ' ἄλλων
Μειλιχίοις σέρξειε παραιφάμενος ἐπέεσσιν,
Ἠὲ μεθ' ἡρώεσσι καὶ ἐς μόθον αὐτίκα λεύσσοι.
ἀλλ' οὐ γὰρ μινύαισιν ἐπήνδανε πᾶσι νέεσθαι.
Δεῖμα δ' ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος ἥρη,
ἀμβολίην θ', ἵνα δὴ τελέσῃ τά περ αἶσα γενέσθαι.
Ὦκα δ' ἄρ' οὖλον ὄνειρον ἀπ' οὐρανοῦ ἧκε φέρεσθαι,
ἐς δόμον αἰήταο· συνθεὶς δ' ὅγε δεῖμα πέλωρον
Ἔσκηψεν βασιλῆα περὶ φρένας ὄσσιν ἔδοξε
παρθένου ἣν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι.
Μηδείας κόλποισιν ἐν ἱμερτοῖσι δεχθῆναι.
Ἀστέρα παμφανόωντα δι' ἠερίοιο πορείης.
Ἣ δ' ἐπεὶ ἐν πέπλοισι λάβε κεχαρηότι θυμῷ
Ἧκε φέρουσ' ἐς χεῦμα ἐϋρρύτου ποταμοῖο
φάσιδος· ἀστέρα δ' αἰὲν ἀναρπάξαντα ῥέεθρον.
Οἴκεσθαι πόντοιο δι' ἀξείνοιο φέροντα.
Ταῦτα δ' ἐσαθρήσας, δολιχοῦ ἐξέσυτο ὕπνου.
Ἀπροφανὲς, συγερόν δὲ περὶ φρένας ἤλκετο δεῖμα
Ἆλτο δ' ἄρ' ἐξ εὐνῆς· δμωσὶ δέ οἱ ὦκ' ἐπέτελλεν
ἵππους ἐντύνειν ὑπό τε ζεύξασθαι ἀπήνην.
Ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥεῖθρον ἐραννόν.
Φᾶσιν δινήεντα σὺν ἐνδαπίης μίγα νύμφαις.

Γῆν ἐπὶ Παφλαγόνων τὴν δὴ παράμειψε θέουσα
Ἀργὼ, ὑπὲρ μέγα λαῖτμα Καραμβιάκην δ' ἵκετ' ἄκρην
Ἡ ἐνὶ Θερμώδων κεῖται ἅλυός τε ῥέεθρον
Βάλλον ἐπ' αἰγιαλὸν δίναις ἁλιμυρέας ἕλκον.
Νέρθε δ' ὑποθρώσκουσι βορειάδος ἀντίον ἄρκτου
μακρὰ Θεμισκύρης βοιαντίδος ἄψεα κεῖται.
ἄγχι δ' ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται.
καὶ χάλυβις· συβαρῶνά τ' ἔθνη, λαοί τ' ἐπὶ χειρόδυ
Μίγδην ἐν μοσσυνοισι πέδον τείνουσι τάουσι.
Λαιὰ δ' ἐπὶ πλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσι.
Ἠχί τε μαῦροι ἔσαν μαριανδύροισιν ὅμουρο.
Νέρθε δέ τοι ἑλίκης δολιχὸς παρακέκλιται αὐχήν.
Ἐνθάδ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται.
τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα κόλπου
οὗ σύμης ὄρος ἐστὶ, πολύς τ' εὐθαλὴς λειμών.
Ἐνθάδ' ἀράξου ῥεῦμα μεγαβρεμέτου ποταμοῖο
ἐξ οὗ Θερμώδων φάσις, τάναϊς τε ῥέουσιν.
Οὗ κόλχων κλυτὰ φῦλα καὶ ἡνιόχων, καὶ ἀραζῶν.
Ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλέομεν ὅρμοις
Οὔρων χειδναίων τε χαρανδαίων. σολύμων τε.
ἀσσυρίων τελέων. φρυχιῶ δ' ἀγκῶνα σινώπης
καὶ φίλυρας ναέτας τε καὶ ἄστεα πυκνὰ σαπείρων,
Βύζηρας τ' ἐπὶ τοῖσιν. ἴδ' ἄξενα φῦλα σιγύμνων
Ἵκτο δ' ὑπὸ πνοιῆς ἀνέμου πλησίστιος ἀργὼ
Ὀρθεῖον ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον
Ἐσπερ' ἐπ' ἀξείνου φάσιν κατὰ καλλιρέεθρον.
ἀγκαῖος δ' ἤνωγε παραιφάμενος ἐπέεσι.
Λαίφεά τε στέλλειν, καὶ ἐπ' ἰκρίων αὖθι χαλάσαι.
Ἱστὸν ἀνακλίναντας, ὑπ' ἐρεσίῃ δὲ νέεσθαι.

αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
πέτρας ἠλιβάτους, αἳ δ' ἀλλήλων ἀπόρουσαν
Κῦμα δ' ἀπερρόχθησε· βυτός δ' ὑποείκαθε νηῒ
Ἡμετέρῃ πίσυνος κιθάρῃ διὰ θέσκελον αὐδήν.
ἀλλ' ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἵγε
Βυσσόθεν ἐρειζοῦντο καὶ ἔμπεδον αἰὲν ἔμιμνον.
Οὔπω γὰρ μοῖραι τάδ' ἐπεκλώσαντο βαρεῖαι.
καὶ τότε δὴ προφυγόντες ἀδευκέα πῆμά τ' ὀλέθρου
Ῥηβαντοῦ προχοῇσι μέλαιν' ὀξικόμεθ' ἀκτὴν
Νῆσον ὑπὲρ δολιχὴν θυνηΐδα τῆς ἀπάτερθεν
τέμβοιος ἰχθυόεις θαλεραῖς πλημμύρεται ὄχθαις.
Σαγγάριός θ' ὃς κῦμα τ' ἐπιβρέχει εὐξείνοιο.
Ἀλλ' ὅτ' ἐπ' αἰγιαλῶν ἐπενεισάμεθ' εἰρεσίῃσιν
Ἀμφὶ λύκοιο ῥέεθρον ἐκέλσαμεν· ᾧ ἔπι λαοῖς
Κραῖνε λύκος ποταμοῖο φερώνυμος, ὅς ῥ' ὑπέδεκτο
Ἥρωας μινύας· ξενίῃ δ' ὑπέδεκτο τραπέζῃ.
φίλετο δ' αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ
ἔνθα καὶ αἶσα παρέσχε κατὰ φθίσθαι δύο φῶτας,
Ἀμπυκίδην Ἴδμωνα κυβερνητῆρα τε Τῖφυν,
τοὺς μὲν δὴ κατὰ σῶμα λυγρὴ ἠρείσατο νοῦσος
τὸν δ' ἔκτανε θήρσυς ἄγριος· αὐτὰρ ὅ τοῖς γε
τύμβους χευάμενοι πολιὴν ἐπένησαν θαλλήν.
ἀγκαίῳ πίσυνοι. τὸν γὰρ φάσαν Ἴδριν ἅπαντες
Ναυτιλίης· σφετέρῃσι δαημοσύνῃσι κεκάσθαι.
αὐτὰρ πηδαλίων οἰήια λάζετο χειρὶ
Νῆα κατιθύνων ἀντὶ παρθενίοιο ῥέεθρα,
Ὃν δὴ καλλίχορόν μιν ἐπώνυμον οἱ καλέουσιν
Ὅν τοι ἐγὼ μύθοισιν ἀντὶ προτέροισιν ἔλεξα.
Ἔνθεν ἄκραν προβλῆτα παραπλώσαντες ἔβημεν

Παῖδε κλυτοῦ βορέου, φινεῦ δ' ἄρα ὤπωσαν ἄτην
Ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς.
αὐτὰρ ἔπειτα ζαμενὴς βορέης στροφάδεσσιν ἀέλλαις
Ἁρπάξας ἐκύλινδεν ὑπὸ δρυμὰ πυκνὰ καὶ ὕλας
Βιστονίης· ἵνα κῆρ' ὀλοὴν καὶ πότμον ἀλύξῃ.
αὐτὰρ ἔπειτα φινῆος ἀμνορίδαο λιπόντες
αὖλιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα.
Ἀγχοῦ κυανέαις πέτραις, ἅσμοι ποτὲ μήτηρ
Ἡμετέρη κατέλεξε περίφρων καλλιόπεια.
οὐ γάρ οἱ ξυμπλήγαδες οἰζυροῖο πόνοιο.
Ἀλλὰ καθειρυμέναι ἀνέμων ἀργῇσιν ἀέλλαις
Ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλαισιν ἰοῦσαι·
Δοῦπος τ' ἀμπέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανεν
Ῥηγνυμένοιο κλύδωνος· δεινομένης τε θαλάσσης
Κύματι παφλάζοντι περιβρέμεν ἄσπετος ἅλμη.
Ἀλλ' ἐγὼ ἀγνιάδῃ τάδ' ἀπὸ γλώσσης ἀγόρευσα·
πρύμναν ἔπειθ' ὁρόειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη
τοῦ δὲ, καὶ ἀΐσσοντος ἐπαχνώθη φίλον ἦτορ
Ἐν στέρνοισι δὲ κεῦθεν ἅ οἱ τελέεσθαι ἔμελλεν.
μοῦνος ἀφ' ἡρώων, ἀλλὰ γλαυκῶπις ἀθήνη.
Ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι.
Ἄκρην ἱστοκεραίαν· ὁ δ' ἀγχαλόων πεπότητο·
πέτραις δ' ἐν λυχάταισιν ὑπὸ πτερύγεσσιν ἀερθείς.
Δινεῦνται ταὶ δ' αἶψα κραδαινόμεναι ἐκάτερθεν
σύμπεσον ἀλλήλαισι· καὶ οὐρῆς ἄκρον ἔκερσαν
Ὄρνιθος· ταὶ δὲ σφιν ἐτώσιον ἠρείσαντο.
τίφυς ἐκ προλιπόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον
Σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο· τοὶ δ' ἀΐοντες
Ἱέμενοι θοὰ κύμαθ' ὑπειρεσίῃσι χάρασσον.

Λιμνακίδων· αἳ δή σφιν ἐσαθρέσασαι ἰόντα
Κοῦρον ἔτ' ἀντίθεον, κατερύκακον ὄφρα σφὶν αὐτοῦ
Ἀθάνατός τε πέλῃ. καὶ ἀγήραος ἤματα πάντα.
Ἀλλ' ὅτε πρὸς μεσάτην ἠῶ φέρεν ὠκέας ἵππους
Ἥλιος, κραιπνὸν δ' ἐξ οὔρεος ἔπνεεν οὖρος·
ἐν δ' ἔπεσ' ἀγκοίναις ὀθόναις. Τῖφυς δ' ἐγκονέει
Νηὸς ἔσω περάαν θινὸς δ' ἐκ πείσματα λύειν.
Οἱ δὲ, κυβερνητῆρος ἐφημοσύναις ἐπίθοντο.
Ἑλατίδης δ' ἀνὰ πρῶτα θοῶς πολύφημος ἔβαινεν,
Ὄφρα κεν Ἡρακλῆα θοῶς ἐπὶ νῆα καλέσοι.
Ἀλλ' οὔ οἱ ξύμβλητο· μολεῖν γὰρ οἱ οὔ τοι πέπρωτο
Φᾶσιν καλλίροον μένος ὄβριμον Ἡρακλῆος.
Ἀλλ' ἄρ' ἐπ' ἠῷοι λυγρὴν ἐπεράσομεν αἶαν.
Ἔνθ' Ἄμυκος Βεβρύκεσιν ὑπερφιάλοισιν ἄνασσεν·
Ὅς τε πανομφαίου Ζηνὸς θέμιν οὐκ ἀλεγίζων
Ἄθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων,
Ὅστις ἐπὶ σταθμοὺς, ἠδ' ἀστεμφῆ δόμον ἵξῃ
Θήκατο πυγμαχίης ὑπερόπλου πειρηθῆναι.
Τὸν μὲν ἄρ' ἠΐστωσε βίῃ κρατερὸς Πολυδεύκης
Τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι.
Λαοὺς δ' αὖ Βεβρύκων μινύθει χαλκῷ κατένηραν.
Ἔνθα δ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ δὲ καμόντες
Βιθυνῶν μέγα ἄστυ πλατείῃ κέλσαμεν ἀκτῇ.
Σπεύδοντες προχοαῖς, ἠδ' ἐνὶ φαράγγεσιν ὕλαις.
Ἑσπέριοι αὐλισθέντες ἐφοπλισάμεθα δόρπον.
Ἔνθα τότ' αἰνόγαμος Φινεὺς ὑπερώϊος θυμῷ
Δοιοὺς ἐξαλάωσε γόνους προβλῆτι τε πέτραις
Θηρσὶν ἑλὼν προὔθηκε γυναικῶν εἵνεκα φίλτρων.
Τῷ δὲ καὶ ἀσκηθεῖς ὀπωπότας αὖθις ἔτευξαν.

Ὄφρα κεν αἰτιμένοις νόστον μελιηδέ' ὀπάσσαι.
Ἀλλ' ὅτε δὴ θυέεσσι λιταῖσί τε γουνασάμεσθα
Ἀργῴην ποτὶ νῆα κατήλθομεν, ἐν δ' ἄρα τῖφυς
Ἥρωας πρύμνηθεν ἐκέκλετο, σὺν δ' ἄρα πάντες
Ἐσσύμενοι θώκοισιν ἐπὶ προτέροισι κάθιζον
Βάντες ὑπὲρ θώκοιο, καὶ εἰρεσίης μνώοντο.
Ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες
πείσματα δ' ἠπλώθη. κραιπνὸν δ' ἀπὸ δινδύμου ἄ-
Ἴκμενον οὖρον ἐφῆκε ῥέη λιπαροκρήδεμνος. (κρης
Ἡμεῖς δ' αὖτ' ἐπὶ νηὶ γεράσμια πέμπομεν ἱρὰ
Βωμὸν ἐπιστέψαντες ἐπεσσομένοισι πυθέσθαι
πεισματίην, τόθι πείσμαθ' ἐεργομένης λύθεν ἀργοῦς.
ἀλλ' ἄρ' ἐπεί γ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης
Θεῖνε διαπρήσσουσ' ἁλιμυρέα κύματα πόντου.
Μυσία δὲ σχεδόθεν παραμείβετο πείρατα γαίης.
αἶψα δὲ ῥυνδακίους προχοὰς ἤμειψε θέουσα.
Καλούς τ' ἐς λιμένας ψαμαθώδεας ἆσσε πέρησε,
Κέλσε δ' ἐπ' αἰγιαλῷ προτόνοις δ' ἐπὶ χεῖρα βαλόν-
Ἱστία μηρύσαντο καὶ ἀμφ' ἱμᾶσιν ἔδησαν, (τες
Κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονός, ἐκ δ' ἔβαν αὐτοὶ
Σῖτον καὶ πόσιος λελιημένοι, ἀμφὶ δὲ κνάμος.
ἀργχύτου κατέφαινε βαθυσκόπελοί τε κολῶναι.
Ἡρακλέης δ' ἠπείγετ' ἀν' ὑλήεντας ἐναύλους.
τόξον ἔχων παλάμαις. ἰδὲ τριγλώχινας ὀϊστούς.
Ὄφρα κε θηρήσαιτο πόροι δ' ἐπὶ δόρπον ἑταίροις
Ἢ σύας, ἢ πόρτιν κεραήν. ἢ ἄγριον αἶγα.
τοῦ δ' ἀφαμαρτήσαντος ὕλας ἐξίκετο νηὸς
Λάθρα ἐπισπόμενος. σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ
Ὕλῃ ἐνιπλαχθείς. ἐν δὲ σπέος ἤλυθε νυμφῶν

Αὐτὸς δ' αὖ καὶ μῆτις τόξον λάβεν ἠδ' ἄρ' ὀϊστούς·
Τεινόμενος δὲ οἱ ἧκε βέλος, τὸ δ' ἀπέπτατο τηλοῦ·
Δῶκε δ' ἄρ' αἰσονίδης μινύης λόχος εἵνεκα τιμῆς·
Πλέξας εὐανθῆ στέφανον παννυφύλλου ἐλαίνης·
ἀλλ' ἄρ' ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος ἰήσων,
Εμβάδε χρυσείῳ γε πτοιουμένῳ πτερύγεσσι·
Αὐτὸ δ' ἀγὼν φήμη δ' ἐπέπτατο δώματος εἴσω·
Κυζίκου οἰχομένου τοῦ δ' ὡς κλύε σύγγαμος αἰνή·
στήθεα δρυπτομένη λίγ' ἐκώκυεν, ἀμφὶ δὲ δειρῆς
ἁψαμένη μήρινθα βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε·
Γῆ δ' ὑποδεξαμένη πλακὶ δάκρυα πίδακος ἧκε·
Βλύζου ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσσης,
Αέναον· κλείτην δὲ περικτιόνες καλέουσι.
καὶ τότε δὴ βασιλῆες ὀνειροπόλον διὰ πύστιν
Κνημὸν ἐπὶ ζάθεον. καὶ Δίνδυμον ἀκρώρειαν
Οφρα κε μειλίξαιντο εὐοινίσοις ἐπὶ λοιβαῖς
Ρείην πρεσβυγενῆ, θυμὸν δ' ἀρέσαιντο ἀνάσσης.
ἀλλ' ἄρ' ἐγὼν ἑπόμην φόρμιγγα δὲ μετὰ χερσὶν ἄειρον
ἄργος δ' αὖθ' ἵκανε λιπὼν εὐεργέα νῆα,
Ος γε πανυφλοίου ἐλάτης ἀμφιπλεχὲς ἔρνος
Αμπέλου αὐαλέης, ὀξεῖ ἀπέκερσε σιδήρῳ
Ξέσσε δ' ἐπισταμένως βρέτας ἱερὸν ἰδμοσύνῃσι
Μίμνειν ἔμπεδον αἰεὶ, ἐπ' ἐσσομένοις ἀνθρώποις.
Λάεσσι δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
οἱ δ' ἄρ' ἐπειγόμενοι μινύαι, μέγα δ' ἔξοχα πάντων
αἰσονίδης, λιθάκεσσιν ἀρηρότα βωμὸν ἔτευξαν,
Ω ἔπι ταυροθύτους λοιβάς, ἠδ' ἱερὰ καλὰ
Ρέξαν ἀριστῆες, σπονδῇσι δ' ἐτέρπετο ῥείη.
ἀλλ' ἄρ' ἐμὲ λιγυρῶς ἄνωγον κλῆσαι θεὸν, ἡ δὲ γερῆρα·

Τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας
Ψυχῇ ὑποβρομέων, ἄφαρ ἥρωεσσι δ᾽ ὀνείρου·
φάσματα πᾶσιν ἐνίσπε· ὠδὴ δρομάδην ἀγερθείων.
Οἱ δέ, θοῶς ἤγερθεν, ἐπ᾽ ἠϊόνα δ᾽ ἆλτο ἕκαστος,
Ἡ δέ, κατ᾽ ὀρφναίοιο πόλου χρυσήνιος ἠώς,
ἀντολίην ὤρσεν. ἐδέχνυτο δ᾽ οὐρανὸς ὄρθρον,
καὶ τότ᾽ ἀριστῆες μινύαι κεῖνον ἐσενόησαν
αἵματι καὶ κονίῃ πεπαλαγμένον· ἀμφὶ γὰρ ἄλλοι
Δήιοι ἀμφὶς ἔκειντο πελώρια σώματα θηρῶν.
ἀλλ᾽ οἱ μὲν, βασιλῆα περισταδὸν ἀμφιχυθέντες
Κύζικον εὐξέστοισιν ὑπὸ πλατέεσσιν ἔθηκαν
ἂν δ᾽ ἄρα τύμβον ἔχευαν· ἐδωμήσαντο δὲ σῆμα.
φιτροὺς δ᾽ αἶψα κόμιζον· ἴδ᾽ ἔντομα πορσαίνοντες
παμμέλαν ἐν βόθροις κατεκίαθον, αὐτὰρ ἔγωγε
Ψυχὴν ἱλασάμην σπένδων μειλέγματα χύτλων,
Ὕδατι δ᾽ ἠδὲ γάλακτι μελισσορύτων ἀπὸ νασμῶν
Λοιβαῖς συμπροχέων καὶ ἐμοῖς ὕμνοισι γεραίρων·
αὐτὸς δ᾽ αἰσονίδης προὐθήκατο πᾶσιν ἄεθλον.
τυμβιδίου ἐπ᾽ ἀγῶνος ἑταίροις ἔμμεν᾽ ἄεθλα·
Δῶρα, τά οἱ πόρεν ὑψιπύλη λήμνοιο φέρεσθαι.
ἀγκαίῳ μὲν δῶκε πάλης γέρας ἀμφικύπελλον
Χρύσειον πολυχανδὲς ἔχειν, πηλῆϊ δ᾽ ἔδωκε
Θᾶσσον τι σταδίοισι ποδωκείης εἵνεκα σφῆς,
Χλαῖναν φοινικέην πολυδαίδαλον ἔργον ἀθήνης·
αὐτὰρ παγκρατίοιο δῶκεν γέρας ἡρακλῆϊ,
ἀργύρεον κρητῆρα πανάιολον, ἱππασίης δὲ
Κάστορι, χρυσείων φαλάρων πολυτεχνέα κόσμον.
πυγμαχίης δὲ τάπητα λιανθέα δῶκε φέρεσθαι.
Ἀθλοφόρῳ πολυδεύκει· ὃ γὰρ κλυτὸν ἤρατο νῖκος

Ἀλλ' οὐ γὰρ λύοντο κάλοι. δεσμοῖσι δ' ἀφύκτοις
Ὠκέης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο
Νῆα κατείργοντες. θάμβησε δὲ Τῖφυς ἀμύμων.
ἄφθογγος δὲ οἱ ἧκε χερῶν, οἰήια νηὸς
ἀργώης. οὐ γάρ γε ἐέλπετο κῦμα περῆσαι.
Ῥείη γὰρ κοτέεσκε δεδουπότος εἵνεκα λαοῦ.
ἀλλ' ὅτε πρὸς μέσατον νυκτὸς προύβαινεν ἀταρπὸς
Ἄστρα τε τηλεφανῆ δῦνεν ῥόον ὠκεανοῖο.
Ὥστε κυβερνήτῃ προσεπέστιχε νήδυμος ὕπνος,
τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος ἀθήνη.
Ἄγχι παρισταμένη παρ' ἐτήτυμα σύματ' ἔφαινεν.
Ὧδε δ' ὁμοκλήσασα θεογόρον ἔννεπε μῦθον.
Εὕδεις αἰγιάδη γλυκερῷ βεβολημένος ὕπνῳ.
Κῶμα περὶ βλεφάροισι βαλών, ἀλλ' ἔγρεο Τῖφυ.
Κέκλεο δ' ἡρωέασι μολεῖν ὠδὶ νῦν ἐμὴν ἀκτὴν
Νηὸς ἄπο προθορόντας ὅθι ξένος ἐν ψαμάθοισι.
Κεῖται ἀποφθίμενος, τῷ οἰκτέρεα κτερέαξαι
παμμήτειρα ῥέη κελέται γέρα. ἠδέ τε λοιβὰς
δοῦναι ὑποχθονίοισι. καὶ δάκρυα λειβέμεν ὅσσων.
Ἀδμονέους θέμεν ἀκνοτελῆ ξενίην τράπεζαν.
Ὃν ῥ' ἀέκων ἔκτανε βαλὼν διὰ νύκτερον ὄφρην
Ἡρακλέης. θυμὸν δὲ θεᾶς ἐχολώσατο ῥείης.
ἀλλ' ὁπόταν δεσμοῖς ξεῖνον σεβάσησθε θανόντα.
Δίνδυμον αὐτίκ' ἔπειτα ῥέης ἕδος εἰσαναβάντες.
Ἱλασμοῖς ἱεροῖς γαίης ἀρέσασθαι θύγατρα.
Ῥείσματα δ' ἀράμενοι τότε δὴ μνώεσθε πλόοιο.
Ὣς εἰποῦσα θεὰ πάλιν ἐφάπετ' ἶσον ὀϊστῷ.
Οὐρανὸν ἀσσυμένη. τοῦ δ' αὐτίκα κῶμ' ἐκεδάσθη.
Πρύμνης δ' ἄλτο θοῶς ἀνέγειρε δὲ λαὸν αὐτῇ

Δὴ τότε κεκλιμένοισιν ἐπήλυθε κύζικος ἥρως·
Ὃς Δολόπων ἤνασσε περικτιόνων ἀνθρώπων
αἰνῆος φίλος υἱὸς, ὅν οἱ τέκε δῖα γυναικῶν
εὐδώρου θυγάτηρ αἰνίππη καλλιπάρηος·
Ὅς ῥα φιλοξενίῃ μινύας ἐγέρηρεν ἅπαντας·
σφάζων πᾶ τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς·
Ἀγροτέρους τε σύας· δῶκεν δ᾽ αὐτοῖς οἶνον ἐρυθρὸν·
Σῖτον δ᾽ ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι·
Χλαίνας τ᾽ ἠδὲ τάπητας εὐνήτους τε χιτῶνας·
Φίλετο δ᾽ αὖ παρεόντας ὁμηλικίης εἵνεκα σφῆς·
Καί ῥα πανημερίοισιν ἐν εἰλαπίναισιν ὅμαρτεν·
Ἀλλ᾽ ὅτε γ᾽ ὠκεανοῖο ῥόον βαπτίζετο τιτὰν
μήνη δ᾽ ἀστροχίτων ἐπάγεν μελανευγέα ὄρφνην
τῆμος ἀρηΐφατοι κίον ἀνέρες, οἵ ῥα νέμοντο
Ἀρκτώοις ἐν ὄρεσι πεθηπότες ἴκελα θηρσὶ
τιτᾶσι βριαροῖς τ᾽ ἐναλίγκιοι ἠδὲ γίγασιν·
Ἐξ γὰρ χεῖρες ἑκάστῳ ἀπ᾽ ὤμων ἀΐσσοντο,
Οὓς τότ᾽ ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
Ἐσμόθεν ὁρμαίνοντες ἀρήϊα τεύχε᾽ ἔδυνον.
Καί ῥ᾽ οἱ μὲν προβύκησιν ἀμύνοντο, οἱ δ᾽ ἐλάτῃσιν
Ἐν δ᾽ ἔπεσαν μινύαισι κατὰ σκοτόεσσαν ὁμίχλην·
Οὓς τοι ἐπειγομένους κτεῖνεν Διὸς ἄλκιμος υἱός.
τόξῳ ὀϊστεύων. σὺν δ᾽ αὖ νέον ὤλεσε παῖδα
Κύζικον· οὔτι ἑκὼν, ἀλλ᾽ ἀφραδίῃσι πεδηθεὶς,
τὸν δ᾽ ἄρα μόρσιμον ἦεν ὑφ᾽ ἡρακλῆι δαμῆναι.
αἶψα δὲ οἱ μινύαι, κοίλης ἔντοσθεν ἔβησαν
Νηὸς τευχήρεις, ποτὶ δὲ ζυγὸν ἶζον ἕκαστος·
Τίφυς δὲ, πρύμνηθεν ἐπήπυεν· ἠδ᾽ ἐκέλευε
Κλίμακα νηὸς ἔσω ἐρύσαι· καὶ πείσματα λῦσαι.

Λήμνῳ ἐν ἠγαθέῃ τόθι πὰρ καὶ καλὰ ἔργα μέμηλε
Θηλυτέραις αἳ γάρ θεν ἀϊστώσαντο συνεύνους
Σφῆσιν ἀτασθαλίῃσι· καὶ ἡ κλυτὴ ὑψιπύλεια
Ἐλδομένας κραίνεσκε γυναικῶν ἔθνος ἀρίστη.
Ἀλλὰ τίσοι περὶ τῶν δὲ πολὺν λόγον ἀμφαδὸν εἴπειν.
Ὅσσον ἐφ' ἡμέριον ὦρσεν ἀγαυαῖς λημνιάδεσσιν
Κύπρις ἐροτοτρόφος μινύαις ἐς λέκτρα μιγῆναι.
φίλτροις ὑψιπύλην ἐρατοῖς ἐδέμασεν ἰήσων,
Ἄλλη δ' ἄλλος ἔμικτο, καὶ ἐκλελάθοντο πορείης,
Εἰ μὴ ἀποτροπίοις ἐνοπαῖς θελξίφρονι θυμῷ
Ἡμετέρῳ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν,
Εἰρεσίην ποθέοντες ἐπεμνήσαντο δὲ μόχθου.
Ἔνθεν ἐς ἑλλήσποντον ἅμ' ἠώους φέρεν οὖρος.
Ἀκραὴς ζέφυρος. στεινῆς ἀπάτερθεν ἀβύδου.
Ἴλιον δαρδανίην πίτην ἐπὶ δέξιον ἔχοντας.
Οὗ καὶ ἀβαρνιάδας, περκώτης τ' εὔσταχυν αἶαν
Ἀργυρέαις αἴσηπος ἐπικλύζει προχοῇσιν.
αἶψα δ' ἐπιθρώσκουσα θέεν πολυηγόρος ἀργώ.
αὐτὰρ ἐπεὶ ψαμάθοισιν ἐκέλσαμεν, ἐν δ' ἄρα τίφυς
Ἰθύντωρ ἀκάτοιο καὶ ἀγλαὸς αἴσονος υἱὸς.
Σὺν τ' ἄλλοι μινύαι, γλαυκώπιδι τριτογενείῃ,
Θῆκαν ἀείραντες βριθὺν λίθον, ἔνθα δὲ νύμφαι
Κρήνη ὑπ' ἀρτακίη καλὰ νάματα πλημμύρουσιν,
Οὕνεκα οἱ πλώουσιν ἀνὰ πλατὺν ἑλλήσποντον.
εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη.
οὐδ' ἐς γαῖαν ἔρειψαν εὐγνάμπτους ἀγκύρας.
Κύμασι θεινόμενοι ὑπὸ χειμερίοισιν ἀήταις.
Ἐνθάδε προσσωόντες ἐπὶ κροκάλαις προυχούσαις
Δεῖπνα τὲ καὶ κλισίην, δόρπου μεμνήμεθ' ἕκαστοι.

Ὦ καὶ παρὰ μινύαισιν, ἐγὼ δ' ἄμπαυον ἀοιδῆς.
Οἱ δὲ θοῶν ἤγερθεν. ἔντυνε δὲ τεύχε' ἕκαστος.
Παῖδα δ' ἐναγκαλίδεσιν ἐνίσχανεν ἱππότα πηλεύς
Καί ῥ' ἔκυσεν κεφαλήν τε. καὶ ἄμφω φάεα καλά.
Δακρυόεν γελόων. κηλήθη δὲ φρένας ἀχιλλεύς.
Αὐτὰρ ἐμοὶ κένταυρος ἐῇ γέρας ὤπασε χειρὶ
Νεβρὴν παρδαλέην ξεινήιον ὄφρα φέροιμι,
Ἀλλ' ὅτε δὴ σπήλυγγος ἄπο προθορόντες ἔβημεν,
Ἄκρης ἐκ σκοπιῆς ὁ γέρων ἀνὰ χεῖρας ἀείρων,
Φιλλυρίδης ἠρᾶτο, θεοὺς δ' ἐπεκέκλετο πάντας.
Νόστον μὲν μινύαισιν. ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι.
Ὁπλοτέροις βασιλεῦσι καὶ ἐσομένοις μερόπεσιν.
Αὐτὰρ ἐπεί τ' αὐτοὶ θῖνα καὶ ἐς νέα πάντες ἔβησαν.
Ἐν προτέροις θώσκοισι καθίζανον. ἐν δ' ἄρ' ἐρετμοῖς
Χεῖρας ἐφαπλώσαντες, αὐτοὶ ῥ' ἄλλα τύπτον ἕκαστος
Πήλιον ἐκνεύσαντες, ὑπὲρ μέγα λαῖτμά τε πόντου
Ἀφρὸς ἀνθιξείων χαροπὴν λεύκαινε θάλασσαν.
Πειρασίη δ' ἀπέκρυφθεν ἄκρη καὶ σπιὰς ἀκτή.
Φαίνθη δὲ σκίαθος γόλοπός τ' ἀνεφαίνετο σῆμα
Ἀγχίαλός θ' ὁ μαλὴ ῥεῖθρον θ' ἁλιμυρὲς ἐναύλου.
Ὃς διὰ πολλὴν γαῖαν ἵει μεγαλόβρομον ὕδωρ.
Οὐλύμπου δὲ βαθυσκοπέλου προηῶνος ἐρυμνοῦ,
Ἐξέδραμον μινύαι καὶ ἄθωον δρυώδεα κάμψαν
Πελλήνην τ' εὐρεῖαν. ἰδὲ ζαθέην σαμοθρήκην.
Ἔνθα καὶ ὄργια φρικτὰ θεῶν ἄρρηκτα δὲ βροτοῖσιν
Ἄσμενοι ἐξεπέρησαν ἐμῆς ὑποθημοσύνῃσιν
Ἥρωες. μέγα γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι.
Τῆς δὲ θυηπολίης ἄμοτον πλωτῆρσιν ἕκαστος.
Σιντακαῖς δ' ὀφρύσιν ἐκέλσαμεν ὠκύαλον ναῦν

ἣν ῥα τότ' ἐν χείρεσσι φέρων ὤρεξεν ἀχιλλεύς·
Ος δ' ἄρ' ἄειδε μάχην κενταύρων ὀβριμοθύμων·
Οὓς λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῶν·
Ηδ' ὡς ἡρακλῆι καταντία μαιμώοντες,
ἐν φολόῃ δήρισαν, ἐπεὶ μένος οἶνος ἔγειρεν·
αὐτὰρ ἔγωγε μετ' αὐτὸν ἑλὼν φόρμιγγα λιγεῖαν,
Εκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν·
πρῶτα μὲν ἀρχαίου χάεος μεγαλήφατον ὕμνον·
Ως ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐς πέρας ἦλθε·
Γῆς τ' εὐρυστέρνου γένεσιν, πυθμένα τε θαλάσσης·
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα,
ὅσσα τ' ἔφυσεν ἅπαντα, διέκρινεν δ' ἄλλον ἀπ' ἄλλου·
καὶ κρόνον αἰνολέτην· ὥς τ' ἐς δία τερπικέραυνον
Ηλυθεν ἀθανάτων μακάρων βασιλείας ἀρχή·
μέλπον θ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε,
καὶ βριμοῦς βάκχοιο, γιγάντων τ' ἔργ' ἀΐδηλα.
ἀνθρώπων δ' ὀλιγοδρανέων πολυεθνέα φύτλην,
Ηειδον· στεινὸν δὲ διὰ σπέος ἤλυθεν αὐδή.
Ημετέρης χέλυος μελίγηρυν ὄπα γηρυούσης·
Ετδυτο δ' ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
πηλίου· ὑψηλάς τε μετὰ δρύας ἤλυθε γῆρυς·
Καί ῥ' αἱ μὲν πρόρριζοι ἐπ' αὔλιον ἐθρώσκοντο·
πέτραι τ' ἐς μαράγουν· θῆρες δ' ἀΐοντες ἀοιδῆς,
σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον·
Οἰωνοί τ' ἐκυκλοῦντο βοαύλια κενταύροιο,
ταρσοῖς κεκμηῶσιν· ἑῆς δ' ἐλάθοντο καλιῆς·
αὐτὰρ ὁρῶν κένταυρος ἐθάμβεε· χῆρ' ἐπὶ καρπῷ
πυκνὸν ἐπιπλήσσων· οὖδας δ' ἤρασσεν ὁπλῆσι.
τῖφυς δ' ἦ σπέρησεν ἕως ἄπο· καί ῥ' ἀ ἐκέλευσεν

Ωκα

τόφρα καὶ ἡμέτερον κοῦρον Θέτις ἀργυρόπεζα
Νήπιον ἀρτιγένεθλον ἐν ἀγκαλίδεσσι λαβοῦσα,
πήλιον ἐς νοσίφυλλον ἔβη χείρωνί τ' ἔδωκεν,
ὄν μὲν ἐπισταμένως ἀταλαξέμεν ἠδ' ἀτιτάλλειν,
Οὐδέ μοι πόθος ἐστὶ περὶ φρένα θηήσασθαι.
ἀλλὰ φίλοι πελάσωμεν ἐπὶ σπέος ὄφρα ἴδωμεν.
Ἕξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται.
Ὣς εἰπὼν ἐξῆρχεν ἀταρπιτὸν, οἱ δ' ἑπόμεσθα.
αὐτὰρ ἐπεὶ ἐς αὐλὴν εἰσήλθομεν ἠεροειδῆ,
καὶ προκεκλιμένος μὲν ἐπ' οὐδαίοιο χαμεύνης
Κεῖτο μέγας κένταυρος ἀπηρήρειστο δὲ πέτρῃ,
ἱππείαισιν ὁπλαῖσι τανυσσάμενος θοὰ κῶλα.
ἀγχοῦ δ' ἱστάμενος Θέτιδος καὶ πηλέος υἱός.
Χερσὶ λύραν ἤρχασε φρένας δ' ἐτέρπετο χείρων.
ἀλλ' ὅτε δὴ ῥ' ἄθρησεν ἀγακλειτοὺς βασιλῆας.
Ἀσπασίως ἀνόρουσε κύσεν δ' ἄρα φῶτα ἕκαστον.
Δαῖτα τ' ἐπόρσυνεν. μέθη δ' ἀμφιφορεῦσι κόμισσεν
Ῥωγαλέας τ' ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα.
κλινθῆναι δ' ἐκέλευσεν, ἀδαιδάλτοις δ' ὑπὸ πλαγκτοῖς
Κρέα χύδην παρέθηκε συῶν ἐλάφων τε ταχειῶν.
αὐτὰρ ἔπειτ' ἐπένειμε ποτὸν μελιηδέος οἴνου.
ἀλλ' ὅτε δὴ δόρποιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός.
Χερσὶν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ' ἂν ἔγωγε
δηρίσω χείρωνι διωλύγιον κιθαρίζων.
ἀλλ' ἐγὼ οὐ πιθόμην, περὶ γάρ με ἐπήλυθεν αἰδώς.
Ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἴσο φαρίζειν,
μέσφ' αὐτὸς χείρων ἐλιλαίετο καί μ' ἀέκοντα
Ἠνώγει. ἄδων ἐριδαινέμεν εἵνεκα μολπῆς.
Πρῶτος δ' αὖ κένταυρος ἀείρατο πηκτίδα καλὴν,

Δὴ τότε νηὸς ἔσω κοῖλον κύτος ἐσεπέρησαν,
Πάντες ἐφεξείης· ὑπὸ δὲ ζυγὰ τεύχε' ἔθεντο,
Χεῖρας ἐρετμώσαντες, ἐκέκλετο δ' αὐτόθι Τῖφυς
Ἐκ πεδίοις ὅπλοις δῆσαι παρὰ κλίμακα μακρήν,
Ἱστία δ' ἀπλῶσαι· λιμένος δ' ἐκ πείσματα θέσθαι,
καὶ τότε δὴ λιγυρὸν οὖρον ἰθὺ προέηκεν νεέσθαι·
Ἥρη ζηνὸς ἄκοιτις· ἐπείγετο δ' ἐς πλόον Ἀργώ,
οἳ δ' ἄρ' ἐπ' εἰρεσίῃ ἔπεχον χεῖράς τε νόον τε
ἀκμῆτοι βασιλῆες· ἐτέτμετο δ' ἄσπετος ἅλμη·
ἀφρῷ ἀμφ' οἰδαίνοντος ὑπὸ ῥόπιν ἔνθα καὶ ἔνθα.
Τῆμος δ' ἱερὸς ὄρθρος ἀπ' ὠκεανοῖο ῥοάων
ἀντολίας ἤνοιγεν, ἐπέσπετο δ' ἠριγένεια,
Ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα.
καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη,
Πηλίου ὑλήεντος ἀπ' ἠιόνος κατέφαινε.
Τῖφυς δ' ἀμπαύσας διοσῆς οἰήια χειρὸς
τυτθὸν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν,
Καί ῥα θοῶς ἀκτῇσιν ὑπέδραμον· ἐκ δ' ἄρα νηὸς
Κλίμακα δουρατέην λιμένων ἔντοσθε χάλασσαν.
Ἐκ δ' ἔβαν ἥρωες μινύαι, παύσαντο δὲ μόχθου.
τοῖσι δὲ μῦθον ἦρχεν ὁμιλαδὸν ἱππότα Πηλεύς·
Ὦ φίλοι, ἀθρεῖτε σκοπιῆς προὔχοντα κολωνόν,
μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον ἐνθάδε Χείρων
ναίει ἐνὶ σπήλυγγι δικαιότατος κενταύρων.
ὃν τράφον ἐν Φολοῇ, Πίνδου τ' αἰπεινὰ κάρηνα,
Ὅς ῥα δικασπολίῃ μέλεται καὶ ἀκέσμασι νούσων,
ἄλλοτε δ' αὖ Φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων·
Ἢ λιγυρὴν φόρμιγγα χελυκλόνου ἑρμάωνος.
πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει.

Αμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένειμον.
γδύεαν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.
πυρκαϊῇ δ' ἐκέλευον ἰήσονα λαμπάδα θέσθαι
πδύκης ἀζαλέης ὑπὸ δ' ἔδραμε θεσπεσίη φλόξ.
Δὴ τότ' ἐγὼ προχοῦμαι πολυφλοίσβοιο θαλάσσης,
χεῖρας ἐπαντείνας, τὰ δ' ἀπὸ γλώσσης ἀγόρευσα.
Ωκεανῷ μεδέοντες ἁλικλύστοιό τε πόντου,
Εμβύθιοι μάκαρές τε. καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
ναίετ' ἁλικροκάλας, καὶ τηθύος ἔσχατον ὕδωρ.
νηρέα μὲν πρώτιστα καλῶ πρέσβυστον ἀπάντων.
ἄμμιγα πεντήκοντα κόραις πάσῃσιν ἐραννᾶις.
γλαυκὸν δ' ἰχθυόεσσαν ἀπείριτον ἀμφιτρίτην,
πρωτέα καὶ φόρκυνα, καὶ εὐρυβίην τρίτωνα.
Λαιψηρούς τ' ἀνέμους, αὔραις μίγα χρυσοπτέροισι.
ἄστρα τε τηλεσίφαντα καὶ ἀχλύα νυκτὸς ἐρεμνῆς
αὐγήν τ' ἠελίοιο ποδῶν προποδηγέτιν ἵππων,
Δαίμονας ἠναλίους τε μιγαζομένους ἥρωσιν.
ἀκταίους τε θεοὺς, ποταμῶν θ' ἁλιμυρέα ῥεῖθρα.
αὐτόν τε κρονίδην σεισίχθονα κυανοχαίτην,
νύμφαιτος ἐκ προθορόντα, μολεῖν ἐπιτάρροθον ὅρκων
τόφρα μὲν οὖν ἐπίκουροι ἰάσονος ἔμπεδον αἰεὶ
μίμνωμεν προφρόνως ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζωοὶ νοστήσω μὲν ἑὰ πρὸς δώματ' ἕκαστος.
Ος δ' ἐκ συνθεσίης δηλήσεται οὐκ ἀλεγίζων
Ορκον ὑπερβάσιον, τούτου δ' ἐπὶ μάρτυροι ἔστων,
Ιθύντειρα δίκη, καὶ ἐριννύες αἰνοδότειραι.
Ως ἔφαμεν, οἱ δ' αὖτις ὁμοφροσύνη κατένευσαν,
Ορκια δαιμαίνοντες. ἐσημήναντο δὲ χερσίν.
αὐτὰρ ἐπεὶ ῥόμβον σαγέν τε τελεύτησάν τε τὸν ὅρκον,

Ὡς δή οἱ κλέος ἐσθλὸν ἐπεσσομένοισιν ὀπάζειν.
Ὣς τότε γ' αὐτὸς ἔνισπεν, Ἰήσονα κοίρανον εἶναι.
πεντήκοντ' ἐρέτῃσιν, ἀνὰ τραφερήν τε καὶ ὑγρήν.
καὶ τότε δὴ μάλα πάντες ἐπῄνεον, ὡς ἐκέλευεν
Ἡρακλέης. καὶ θῆκαν Ἰήσονα κοίρανον εἶναι.
Ἦμος δ' ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων,
Ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα.
τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν Αἴσονος υἱός.
πίστιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων
Θέσθαι. ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο.
καὶ τότε μοι Μουσαῖε φίλον τέκος ἀντιοφήμου,
πορσύναι μ' ἐκέλευε θεοῖς ἱερήια καλά.
αὐτὰρ ἐγὼ ψαφαρῇσιν ἐπ' ἠιόνεσσιν ἔνηκα
Κάλα τάτ' ἐκ δρυὸς αὖε φερέσβιος. ἐν δ' ἄρ' ὕπερθε
πέπλῳ παρκατέθηκα θεαῖς ἀθινήχυτα δῶρα.
καὶ τότε δὴ κρατῆρα βοῶν περιμυκέα ταῦρον
Σφάξον ἀνακλίνας κεφαλὴν ἐς αἰθέρα δῖαν.
Ζωντέμνων, περὶ δ' αἷμα πυρὶ χέον ἔνθα καὶ ἔνθα.
αὐτὰρ ἐπεὶ κραδίην θραύσας ποπάνοισιν ἔθηκα
Λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ δὲ γλάγος ἄμνης.
ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας.
Δοῦρα τ' ἐπεμπήξασθαι ἰδ' ἄορα κωπήεντα.
Βύρσῃ τε σπλάγχνοισιν ἐρειδομένοις παλάμῃσι.
Θῆκα δ' ἄρ' ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
Ὀστράκεον. τῷ πάντα περιφραδέως ἐμέμικτο.
Δήμητρος μὲν πρῶτα φερέσβιος ἀλφίτου ἀκτή.
αἷμα δ' αὖθι ταύροιο θαλάσσης θ' ἁλμυρὸν ὕδωρ,
στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαίης.
καὶ τότε χρυσείην φιάλην χείρεσιν ἐμαῖσιν

Δοῦρα τ' ἐλαφρίζουσα. θοὴ δ' ὠλίσθανε πόντῳ·
Καὶ οἱ ἐπειγομένη θαμινὰς ἐκέδασσε φάλαγγας·
αἵ οἱ ὑποπρό ποι κεῖντο μιᾶς σχοινιόστα θεῖσαι.
ἐν δ' ἄρ' ἔβη λιμένος· χαροπὸν δ' ἀνεχάσατο κῦμα
Θῖνες δ' ἀμφέκλυσθεν· ἐγήθει δὲ φρένας Ἰήσων,
Ἀλτο δ' ἔσω νεὸς ἄργος, ἐφέσπετο δ' ἀγχόθι τῖφυς.
Καὶ οἱ ἐπ' ἄρτια θῆκαν ἀρηρότα πορσυνόντες.
Ἱστόν τ' ἠδ' ὀθόνας· ἐπὶ δ' αὖτ' οἴηκας ἔδησαν,
πρυμνόθεν ἀρτήσαντες· ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
ἀλλ' ἄρ' ἔπειτ' ἑκάτερθεν ἐρετμοῖς ἠπλώσαντο.
Ἐς βαίνειν δ' ἐκέλευον ἐπειγομένους μινύας.
τοῖσι δ' αἰσονίδης ἔπεα πτερόεντα προσηύδα·
Κέκλυτέ μευ βασιλῆες ἀμύμονες, οὐ γὰρ ἔμοιγε
αἰδοίη ἐν πραπίδεσιν, ἀρειοτέροισιν ἀνάσσειν.
Ὑμεῖς δ' ὅν τιν' ἄρα κραδίῃ θυμός τε μενοινᾷ,
Ἡγεμόνα στήσασθαι· καὶ ὧ περὶ πάντα μελήσει,
σημαινέειν ὅτι κεν ῥέξαι ἔπος ἠδὲ καὶ ἔργον.
πόντον ἐπιπλώσουσιν ἀφιξομένοις τ' ἐπὶ γαῖαν,
εἴτε καὶ ἐς κόλχους, καὶ ἐς ἀλλοδαποὺς ἀνθρώπους.
καὶ γὰρ δὴ μοῦνοι σὺν ἐμοὶ πολέεστε καὶ ἐσθλοὶ,
οἵ ῥα καὶ ἀθανάτου εἴξης γένος εὐχετάασθε,
ζωὸν ἀνεκρίψασθε πόνων κλέος. ὄφρ' ἂν ἄρησθε.
ἀλλ' οὐ δὴ κάρτιστον ἀρειότερόν τε γενέσθαι
Ἡρακλῆος ἄνακτος οἴομαι ἴστε καὶ αὐτοί.
Ὣς ἔφαθ' οἳ δ' ἄρα πάντες ἐπήνεον ἐν δ' ἄρα φωνῇ·
λαὸς ἐπέρροθεεν, μινύαις ἐπικοίρανον εἶναι.
αἰκέδλω ὅς πᾶσι μέγ' ἔξοχος ἦεν ἑταίροις.
ἀλλ' οὐ πεῖθον ἄνακτα πεπνυμένον ὅς ῥά οἱ ἤδη,
Ἥρης ἐν νεότητι τετιμένον αἴσονος υἱόν.

Γυμνόθεν ἀρτήσας. κάλεσεν δ' ἐπὶ μόχθον ἱκάνειν
πάντας κυδαλίμων, οἱ δ' ἐσσυμένως ὑπάκουσαν,
Τεύχεα δ' ἐκδύοντο περὶ στέρνοισι δ' ἀνῆπτον
Σειραίην μέρμιθον. ἐπέβρισθεν δ' ἕκαστος,
αἶψα θοὸν ποτὶ κῦμα κατειρύσαι εὔλαλον ἀργώ,
ἡ δέ οἱ ἐγχριφθεῖσα ποτὶ ψαμάθῳ βεβαρήτο.
αὐαλέοις φυκέεσιν ἐρυκομένη ποτὶ χέρσῳ.
Ἡρώων παλάμῃσιν ὑποβρυχίῃσιν ἀπειθής.
παχνώθη δ' αὖ θυμὸς ἰάσονος, ἀλλ' ἄρ' ἔμοιγε
νεῦσεν ὀπιπεύων, ἵνα οἱ θάρσος τε βίην τε,
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηκόσιν αἰὲν ὀρίνω.
ἀλλ' ἄρ' ἐγὼ φόρμιγγα πιτνάμενος μετὰ χερσὶ,
μητρὸς ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς.
καὶ ὁ ἀπὸ στηθέων ὄπα χεύελον ὀξελόχευσα.
Ἔξοχον ἡρώων μινυήιον αἷμα γενέθλης.
ἀλλ' ἄγε νῦν στερροῖσιν ὑπὸ στέρνοισι κάλωας
Βρίσαθ' ὁμορροθέοντες, ἐρείσατε δ' ἴχνια γαίῃ.
Ταρσοῖσι ποδὸς ἄκρον ὑπερβλήδην τανύσαντες.
καὶ χαρπὸν ποτὶ χεῦμα γεγηθότες ἕλξατε νῆα.
ἀργὼ πευκήεσιν τ' ἰδὲ δρυσὶν γομφωθεῖσαν.
αἰὲν ἐμῆς ἐνοπῆς, καὶ γὰρ πάρος ἔκλυεν ἤδη.
ἣν ἴκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ.
πέτρας τ' ἠλιβάτους. καί μοι κατὰ πόντον ἔβαινεν.
οὔρεα προλιποῦσα. ἐπίστεο δ' αὖτε θαλάσσης
παρθενίης ἀτραπούς. ἀπέρχου δ' ἐπὶ πᾶσιν ἀμείβειν,
Ἡμετέρῃ πίσυνος κιθάρῃ, καὶ θεσκέλῳ ὀμφῇ.
Δὴ τότ' ἐπιβρομέουσα τὸ μακρὰς ἴκλυε φυγός.
ἣν οἱ ὑποτροπίῳ ἄργος θέτο νηὶ μελαίνῃ.
παλλάδος ἐννεσίῃσιν. ἀνήερθη μάλ' ὦκα

Σίνετο δὲ σφυρὰ δισσὰ πόδας δ' οὐκ ἦεν ἀρηρώς·
τοὔνεκεν ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες·
Ἤλυθε δ' ἀλφειοῖο λιπὼν πισσάτιδας ὄχθας·
αὐγέης υἱὸς περιφεγγέος ἠελίοιο.
ναὶ μὴν καὶ δισσοὶ ὄρπηκες ἀμύμονες ἧκον,
Ἀμφίων κλυτόφυμος· ἰδ' ἀστέριος μενεχάρμης,
πελλήνην προλιπόντ' δ' ἤθεα πατρίδος αἴης·
Δισσὸν δ' αὖ βορέου καλὸν στάχυν ἐσενόησα.
οὓς τέκ' ἐρεχθῆος θεοῦ κλυτὴ ὠρείθυια.
ἰλισσοῦ παρὰ χεῦμα θεοῦ φιλότητι μιγεῖσα·
οἳ δὴ καὶ ταρσοῖσιν ὑπ' οὐατίοις πεπότηντο.
Ζήτης καὶ κάλαϊς, δέμας ἴκελοι ἀθανάτοισιν,
αὐτὰρ δὴ πελίαο φεραιόθεν ἤλυθ' ἄνακτος·
Ἀγχιστεὺς νηὸς γὰρ ἐπ' ἀργῴας γεγένητο.
Ἄξεινον ποτὶ φᾶσιν ἅμ' ἡρώεσιν ἐλάσαι·
Σὺν δέ οἱ ἦλθ' ἑτάρος ἡρακλέεος θείοιο
Καλὸς ὕλας· τὸν δ' οὔπω ὑπὲρ δροσεροῖο γενείου,
ἀργεννεὴς ἐρύθην παρνηΐδας ἁβρὸς ἴουλος.
ἀλλ' ἔτι κοῦρος ἔην, πολὺ δ' ἥνδανεν ἡρακλῆι.
Οὗτοι μὲν ποτὶ νῆα· καὶ ἐς λόχον ἠγερέθοντο.
καὶ ῥα οἱ ἄλλοθεν ἄλλος ἐκέκλετο, ἠδ' ἀγόρευε,
Δεῖπνα δ' ἐπορσύνοντο πολυξείνοιο τραπέζης.
αὐτὰρ ἐπεὶ σίτοιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός.
Ἥμενοι ὀξήεις πόθεεν μέγα ἔργον ἕκαστος.
ἀνστάντες δ' ἅμα πάντες ἀπὸ ψαμάθοιο βαθείης,
Ἤϊον ἔνθα τ' ἔμιμνεν ὑπὲρ ψαμάθου ἁλίη ναῦς·
τὴν ῥά ποτ' εἰσορόωντες ἐθάμβεον, αὐτὰρ ἔπειτα
ἀργὼς ἐφημοσύναισιν οὐ πόρσυνεν ὀχλίζειν,
Δουρατέεσσι φάλαγξι καὶ εὐστρέπτοισι κάλωσι.

Βένθεα· καὶ πλουτῆος ὑποχθονίοιο βέρεθρα,
Μουσαῖος ἀπ' ἀνθρώπων δεινεῖσιν ἀγώπεν ὄασεις·
ἀτὰρ ἐπεὶ τελαμὼν συνεφέσπετο, τόν ῥ' ἐλόχευσεν
αἰακῷ ἀφθίτω κούρη κλυτοῦ ἀσωποῖο
αἴγιν, ἐν κροκάλῃσιν ἁλιστεφέος σαλαμῖνος,
Δὴ τότ' ἄβαντος παῖς νόθος ἤλυθε κρατερὸς ἴδμων
Τόν ῥ' ὑποκυσαμένη τέκεν ἀπόλλωνι ἄνακτι,
Αμβρόσιον παρὰ χεῦμα φερητιὰς ἀντιάνειρα·
τῷ καὶ μαντοσύνην ἔπορε καὶ θέσφατον ὀμφὴν
φοῖβος· ἵν' ἀνθρώποισιν ἀφηρότα μυθίζοιτο.
Ηλυθε δ' αὖ μετὰ τοῖσι μενοίτιος ἐξ ὀπόεντος.
σύγχορτος μινύαις· ἐπὶ δ' ἤλυθε δῖος ὀϊλεύς.
φιλίας δ' ἐξίκανε περικλυτὸς· ὅν ποτε βάκχῳ
Νύμφη ὑποκλινθεῖσα παρ' αἰσήποιο ῥοῇσι
τίκτεν ἄμωμον ἔχοντα δέμας καὶ ἐπίφρονα μῆτιν·
Κηφεύς τ' ἀρκαδίηθε μεθ' ἡρώεσσι πελάσθη
ἀγκαῖον δ' αὖ ὅμιλον ἀπ' ἀρκαδίης πολυμήλου.
Πέμψε πατὴρ γηραιὸς ἐπὶ πλόον ἀξείνοιο.
Οὗτος δ' οὔποτε χλαίναν ἐπὶ στιβαροῖς βάλεν ὤμοις,
Αλλ' ἄρκτου λάσιον στέρνοις ἀμπίσχετο δέρμα.
Ναύπλιος αὖθ' ἵκανεν ἀμυμώνης φίλος υἱός·
Ον τε κεν εὐνηθεῖσα περικλυτῷ ἐννοσιγαίῳ
Αγλαὸν, ἠνορέην δὲ μασίκελον ἀθανάτοισι.
Ταιναριδεὺς δ' εὔφημος ἔβη μελεάτιδος ἄκρης
Εκ προλιπὼν αὐλῶνας, ἁλικλύστους τε θεράπνας·
Αγκαῖος τ' ἔμολε πλευρώνιος, ὅς ῥα πορείας
Οὐρανίας ἄστρων ἐδάη κύκλους τε πλανήτας.
Δίζετο γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν.
ἐν δὲ παλαιμόνιος λέρνου νόθος ἤλυθεν υἱός.

Ἐκ πολιπὼν, καὶ τύρσιν ἐρεμνῆς μιλήτοιο.
Ἔνθα ῥοαὶ κλύζουσι πολυπλανέος μαιάνδρου.
Ἐν δὲ περικλύμενος νηλήιος ἤσαφίκανεν.
Ἀγχόθι πελλήνης τε καὶ εὐύδροιο λιπέζου.
Ἄσυ λιπὼν ἀφνειὸν ὀρειονόμοις τε κολώνας.
Ἐκ δὲ λιπὼν καλυδῶνα θεὸς μελέαγρος ἔβαινεν.
Οἰνεῦς ὃν ῥ' ἐλόχευσε καὶ αἰθαίη ῥοδόπηχυς.
Ἴφικλος αὖτ' ἐπέρησε λιπὼν ἀφαρηΐδα λίμνην.
σύγγονος αἰθαίης. περὶ δ' αὖ τίεν ἔξοχα πάντων,
εἵνεκεν μελέαγρον. ἰδ' ἄλλα ἔργ' ἐδίδασκεν.
ἀστερίων δ' ἐπέρησε πάϊς κλεινοῖο κομήτου.
Πειρεσίην ὅς ἔναιεν ἐπ' ἀπιδανοῖο ῥεέθροις.
Πηνειὸς μίσγων ξυνὸν ῥόον ἐς ἅλα πέμπει.
Εὐρυδάμας δ' ἐπόρευσε λιπὼν βοιβηΐδα λίμνην.
Ἀγχόθι πηνειοῖο καὶ εὐλάγεος μελιβοίης.
αὐτὰρ ἔπειτ' ἐλάτοιο πάϊς πολύφημος ἵκανεν.
Ὃς πρὶν ἐν λαρισσῃ μετέπρεπεν ἡρώεσσιν.
Ἠνειὸς καινῆος ἀφίκετο. τὸν ῥά τε φασὶ
Μισγόμενον λαπίθας ὑπὸ κενταύροισι δαμῆναι.
Θεινόμενον πεύκαισι τανυφλοίοις τ' ἐλάτῃσι.
καὶ οἱ ἀνατλῆναι καὶ ἀκαμπέα γούνατ' ἐρεῖσαι.
Ζωόν τ' ἐν φθιμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης.
ἄδμητος δ' ἀφίκανε φεραιόθεν. ᾧ ποτε παιὰν
Θνητεύων, ὑπόεικε διὸς δ' ἠλεύατο μῆνιν.
Οὕνεκά τοι κύκλωπας ἀμαιμακέτοισιν ὀϊστοῖς,
ἐν φθιτοῖσιν ἔτευξ' ἀσκληπιοῖο ἕνεκα λώβης.
Ἤλυθε δ' ἀκτορίων ἶλος πάϊς ἀκτορίωνος.
Τραχεῖν ὁπόεντα λιπὼν, σὺν δ' ἤλυθεν ἴδας.
λυγκεύς θ' ὃς τήλιστα δι' αἰθέρος, ἠδὲ θαλάσσης

Ἄγχουρος λαοῖσι φαεσίρρεθρον ἀμείβων,
Ὃς περὶ μὲν βύκτοισι καὶ ἀργήεσσιν ἀέλλαις
Νῆα κατιθύνειν δεδάηκεν πολυμήτιδι τέχνῃ.
Κάστορά θ' ἱππόδαμον πολυδεύκεά τ' ἀστερόνησα,
καὶ μόψον τιταρῆθεν, ὃν ἄμπυκι νυμφευθεῖσα
Χαονίην ὑποφηγὸν ἀρηγονὶς ὀξελόχευσε,
πηλέα τ' αἰακίδην, αἰγίνης ἀγλαὸν υἱόν.
Ὃς δολόπεσσιν ἄνασσεν ἐνὶ φθίῃ ἐριβώλῳ.
Ἐριαστὴν δ' ἑρμείαο κλυτὴν ἠδ' ἀστέδρακα γένναν.
αἰθαλίδην, ὃν ἔτικτε περικλυτὴ εὐπολέμεια.
Μυρμιδόνος θυγάτηρ ἀλόπῃ ἐνὶ πετρήεσσῃ.
Ἠδ' ἔρυτον καὶ καλὸν ἐχίονα, τούς ποτε νύμφη
Λαοθόη μερετοῖο παρθενικὰς ἐλόχευσε.
Κυλλήνης μεδέων χρυσόρραπις ἀργειφόντης.
αὐλίκα δ' ἀκτορίδης καὶ βουφάγος ἦλθε κόρωνος
Ἴφικλος αὖ φυλάκου δῖον γένος ἀντετόρησε.
Βούτης τ' αἰνειάδης, ἴκελος χρυσάορι φοίβῳ.
καίνθας δ' εὐβοίηθεν ἀβαντιάδης ἐπέρησεν.
Ὃν δὴ μοῖρ' ἐδάμασσε, τέλος δ' ἐπέθηκεν ἀνάγκη.
φθίσθαι ὑπὲρ λιβύης. νόστον δ' οἴκοιο λαθέσθαι.
ἄλκωνος δὲ φάληρος ἀπ' αἰσήποιο ῥοάων
Ἤλυθεν. ὅς. γύρτωνος ἀλισιφὲς ἔκτισεν ἄστυ.
Ἴφιτος αὖ μετὰ τοῖσιν ἐφέσπετο ναυβόλου υἱός.
Φωκίδος, ὅς ῥ' ἤνασσε καὶ εὐπύργοιο τανάγρους.
Λαοδόκος ταλαὸς καὶ ἀρήιος υἱοὶ ἄμωμοι,
Ἦλθον ἀβαντιάδαι περιώνυμοι, οὓς τέκε πηρώ.
Ἰφιδάμας δ' αἰέου παῖς ἤλυθε. πέμψε γὰρ αὐτὸν
Ἴφθιμος γενέτης. τεγέης ὅρια προλιπόντα.
Ἤλυθε δ' ἐργῖνος βράγχου πολύπυρον ἄρουραν

Ὧν εἵνεκεν ξείνῳ τε φίλῳ μινύαισιν ἀρέσθαι.
Τὸν μὲν ἐγὼ μύθοισιν ἀμειβόμενος προσέειπον.
Αἰσονίδη· τί με ταῦτα παραιφάμενος ἐρεείνεις,
Ὄφρα κεν ἐς κόλχους μινύαις, ἅμ' ἐπίηρανος ἔλθω.
Νηὶ σὺν εὐσέλμῳ, πλεύσας ἐπὶ οἴνοπα πόντον.
Ἤδη γάρ μοι ἅλις καμάτων, ἅλις ἔπλετο μόχθων,
Ὧν ἱκόμην ἐπὶ γαῖαν ἀπείριτον ἠδὲ πόληας.
αἴγυπτον, λιβύην τε βροτοῖς ἀναθέσφατα φαίνων.
Καί με ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε
μήτηρ ἡμετέρη· καὶ ῥ' ἐς δόμον ἤγαγεν ἄλλον.
Ὄφρα τέλος θανάτοιο κίχω, μετὰ γήραϊ λυγρῷ.
Ἀλλ' οὐκ ἔστ' ὑπαλύξαι ἃ δὴ πεπρωμένα κεῖται
Μοιρῶν συνεσίῃσιν ἐπείγομαι. οὐ γὰρ ἄτιμοι
Ἐκείσου ζωὸς κοῦραι λιταί. ἵξομαι ἤδη.
Ὁπλοτέροις βασιλεῦσι καὶ ἡμιθέοις ἐνάριθμος.
καὶ τότε δὴ λίπον ἄντρον ἐπήρατον· ἠδ' ἐπέρησα
αὐτῇ σὺν φόρμιγγι· καὶ ἐς μινύας ἀφίκανον
Λαιψηροῖσι πόδεσσιν, ὑπὲρ παγασηΐδας ἀκτάς.
Ἔνθα δ' ἀριστήων μινύων λόχος ἠγερέθοντο,
Στεινὸν δὴ ψαμάθου ὁμάδῳ· ῥηγμῖνα τ' ἀναύρου,
Ἀλλ' ὅτε δή μ' ἐνόησαν ἀταρπιτὸν ἐξανύοντα
ἀσπασίως ἤγερθεν· ἐγήθεε δ' ἦτορ ἑκάστῳ.
αὐτὰρ ἐμυθόμην ἐρεείνων ἄνδρας ἀρίστους,
πρῶτα δὲ εἶδε βίην ἡρακλῆος θείοιο,
Ὃν τέκεν ἀλκμήνη ζηνὶ κρονίωνι μιγεῖσα,
Ἦμος ὅτε φιαλὴν μὲν ἐλείπετο σείριος αἴγλην,
Ἥλιος· δολιχὴ δ' ἐπεμαίετο πάντοθεν ὄρφνη.
Τῖφυν τ' ἀγνιάδην δολιχῆς ἰθυντῆρα νηός.
Θεσπιέων δ' ὅγε τῆμος ἐφ' ὕδασι περμησσοῖο

Δοινοβίην ἥρωα περικλυτὸν αἴσονος υἷα,
καί ῥα καλεσσαμένη ἐπετέλλετο φιτογενείη,
Καί οἱ φηγινέην πρῶτον τεκτήνατο νῆα,
Η καὶ ὑπ' ἐλατίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη
πρώτη ὑπεθεπέρησε· τρίβους δ' ἐνόησε θαλάσσης.
ἀλλ' ὅτε δὴ συνάγειρεν ἀγακλειτοὺς βασιλῆας.
θρηίκην ἐς δὴ πῶλον, ἐπήγετο δῖος ἰήσων,
Καί μ' ἐκίχανε κιθάρην πολυδαίδαλον εὐτύνοντα
Οφρα καί τοι μέλπων προχέω μελίγηρυν ἀοιδὴν,
Κηλήσω δέ τε θῆρας· ἠδ' ἑρπετὰ καὶ πετεηνὰ,
Ηνίκα δ' εἰς αὐλὸν πολυήρατον εἰσεπέρησε
μείλιχον ἐκλασίων στέρνων ἀνενείκατο φωνὴν.
Ορφεῦ καλλιόπης τε καὶ οἰάγρου φίλε κοῦρε.
Βιστονίη κικόνεσσι πολυῤῥήνοισιν ἀνάσσων,
Καῦρ' ἐπεὶ αἱμονίης ὀχέας πρώτιστον ἱκάνω.
Στρυμονίης τε ῥοὰς ῥοδόπης τ' αἰπεινὰ πρὸς ἄγκη,
εἰμί δ' ἐγὼ μινύεσσι πανέξοχον αἷμα λελογχὼς,
Θεσσαλὸς αἰσονίδης· ξεῖνος δέ σοι εὔχομαι εἶναι·
Αλλὰ φίλος πρόφρων μ' ὑποδέχνυσο, καὶ κλῦε μῦθον
Μειλιχίαις ἀκοαῖς· καὶ λισσομένῳ ὑπάκουσον,
Αξείνου πόντοιο μυχοὺς καὶ φᾶσιν ἐρυμνὸν,
Νηὶ σὺν ἀργώῃ πελάσαι· δεῖξαί τε θαλάσσης
παρθενίης, ἀταρπούς, ἀπηρατον ἡρώεσσιν.
Οἳ ῥα τεὴν μίμνουσι χέλυν καὶ θέσκελον ὀμφὴν.
Ελπόμενοι ζωὸν πελάγει ἐπαρηγόνα μόχθων.
οὐ γὰρ δὴ πλῶσαι πρὸς βάρβαρα φῦλα μέδονται,
Νόσφι σέθεν· καὶ γάρ ῥα ποτὶ ζόφον ἠερόεντα.
Νείατον εἰς κευθμῶνα λιτῆς εἰς πυθμένα γαίης,
Μουσῶν ἀπ' ἀνθρώπων πελάσαι καὶ νόστον ἀνευρεῖν,

Ηδ᾽ ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς
Ψυχαὶ ἐφημερίων, ὕπνῳ βεβολημέναι ἦτορ·
σημείων τεράτων τε λύσεις, ἄστρων τε πορείας.
Αγνοπόλον τε καθαρμὸν, ἐπιχθονίοις μέγ᾽ ὄνειαρ.
ἱλασμοὺς τε θεῶν, φθιμένων τ᾽ ἐπινύχια δῶρα.
Αλλα δέ σοι κατέλεξ᾽ ἅπερ εἴσιδον, ἠδ᾽ ἐνόησα.
Ταίναρον ἡνίκ᾽ ἔβην σκοτίην ὁδὸν, ἄϊδος εἴσω
Ημετέρῃ πίσυνος κιθάρῃ, δι᾽ ἔρωτ᾽ ἀλόχοιο.
Ηδ᾽ ὅσον αἰγυπτίων ἱερὸν λόγον ἐξελόχευσα.
Μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας.
ἄπιδος ἃς πέρι νεῖλος ἀγάρροος ἐστεφάνωται
πάντα μάλ᾽ ἀτρεκέως ἀπ᾽ ἐμῶν στέρνων δεδάηκας.
Νῦν δ᾽ ἐπεὶ ἀερόφοιτος ἀπέπτατο δήϊος οἶστρος,
Ημέτερον δέμας ἐκπρολιπὼν εἰς οὐρανὸν εὐρὺν,
πεύσῃ ἀφ᾽ ἡμετέρης ἐνοπῆς ἃ πρὶν ἔκευθον.
Ως ποτε πιερίην λειβήθρων τ᾽ ἄκρα κάρηνα,
Λισσόμενός μ᾽ ἐπίκουρον ἑοῦ νόστοιο γενέσθαι.
ποντοπόρῳ σὺν νηὶ πρὸς ἄξενα φῦλ᾽ ἀνθρώπων,
Εθνος ἐς ἀφνειὸν καὶ ἀτάσθαλον, ᾧ ἐνὶ κραίνειν
αἰήτης, υἱὸς φαεσιμβρότου ἠελίοιο.
Θέσφατα γὰρ πελίας δεδίσσετο, μή οἱ ὄπισθεν
Χειρὸς ἐπ᾽ αἰσονίδαο καθέλῃ βασιλήιον ἀρχὴν.
καί οἱ ὑπὸ πραπίδεσσι δόλον φόνον ἠπερόπευε.
πέμψε γὰρ ἐκ κόλχων, χρύσειον κῶας ἐνεῖκαι.
Θεσσαλίην εὔπωλον. ὁ δ᾽ ὡς κλύεν ἔκνομον αὐδὴν
χεῖρας ἐπαντείνας, ἐπέκλετο πότνιαν ἥρην.
τὴν δὲ γὰρ ἐκ μακάρων περιώσια κυδαίνεσκεν.
Η δὲ, παρ᾽ εὐχωλῇσιν ἐφέσπετο κυδομένη περ.
Εξοχα γὰρ μερόπων ἠγάζετο καὶ φιλέεσκεν

Ηπύσω μούσης ἐφετμαῖς. καὶ πηκτίδι πυκνῇ.
Νῦν γάρ σοι λυροεργὲ φίλον μέλος ἀείδοντα·
Θυμὸς ἐποτρύνει λέξαι, τά περ οὔ ποτε πρόσθεν.
Εφρασ' ὅταν βάκχοιο καὶ ἀπόλλωνος ἄνακτος.
Κέντρῳ ἐλαυνόμενος, φρικώδεα κῆλ' ἐπιφασκόν.
Θνητοῖς ἀνθρώποισιν ἄκη μὲν δ' ὄργια μύσταις.
ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον ἀνάγκην.
καὶ κρόνον ὃς ἐλόχευσεν ἀπειρεσίοισιν ὑπ' ὁλκοῖς
αἰθέρα. καὶ διφυῆ περιωπέα κυδρὸν ἔρωτα.
Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν. ὅν ῥα φάνητα
Οπλότεροι κικλήσκουσι βροτοί. πρῶτος γὰρ ἐφάνθη.
Βριμοῦς τ' εὐδυνάτοιο γονάς, ἠδ' ἔργ' ἀΐδηλα
γιγάντων. οἳ πυγρὸν ἀπ' οὐρανοῦ ἐστάξαντο,
Σπέρμα γονῆς τὸ πρόσθεν ὅθεν μένος ἐξεγένοντο.
Θνητῶν. οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι.
Θητείαν τε ζηνὸς, ὀρεσσιδρόμου τε λατρείαν
Μητρός. ἅ τ' ἐν κυβέλοις ὄρεσιν μητίσατο κούρην.
φερσεφόνην περὶ πατρὸς ἀμειμακέτου κρονίωνος
μῆχος τε καὶ ἡρακλῆος περίφημον ἄμυξιν.
Ορκιά τ' ἰδαίων κορυβάντων τ' ἀπλέτον ἰσχύν.
Δήμητρός τε πλάνην καὶ φερσεφόνης μέγα πένθος
Θεσμοφόρος θ' ὡς ἦν. ἠδ' ἀγλαὰ δῶρα καβείρων.
χρησμούς τ' ἀρρήτους νυκτὸς περὶ βάκχου ἄνακτος,
Λῆμνόν τε ζαθέην. ἠδ' εἰναλίην σαμοθράκην
αἰπεινήν τε κύπρον καὶ ἀδωναίην ἀφροδίτην
Οργια πραξιδίκης. καὶ ἀρέννης νυκτὸς ἀθλώης.
Θρήνους τ' αἰγυπτίων, καὶ ὀσίριδος ἱερὰ χύτλα,
ἀμφὶ δὲ μαντείης ἐδάην πολυπείρονας ὅρμους.
Θηρῶν ἰωνῶν τε, καὶ ἢ σπλάγχνων θέσις ἐστὶν,

Εἰσέτι δ' ἰθυώοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς.
Ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις
Ἤλυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ.
πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης
εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην.
Λύχνου σβεννυμένοιο, παρὰ κρηπῖδα δὲ πύργου.
Θρυπτόμενον σπιλάδεσσιν, ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην
Δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνας
Ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
Κὰδ δ' Ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
Ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

Εἰς Μουσαῖον ἐπιτάφιον.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

ΟΡΦΕΩΣ ΑΡΓΟΝΑΥΤΙΚΑ.

ὦ Ναξ πύθωνος μεδέων ἑκατηβόλε μάντι.
ὃς λάχες ἠλιβάτου κορυφῆς παρνασσίδα πέτρην.
Σὴν ἀρετὴν ὑμνῶ, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις.
Πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδήν.
Ὄφρα πολυσπερέεσσι βροτοῖς λιγύφωνον ἀοιδὴν

Ἠθάδε σημαίνουσα φαεσφόρην ὑμεναίων,
μαινομένης σ' ἄφρων ἀφειδήσαντα θαλάσσης,
Νηλειὴς καὶ ἄπιστος· ὄφελλε δὲ δύσμορος Ἡρὼ,
Χείματος ἱσταμένοιο μένειν ἀπάνευθε λεάνδρου
μηκέτ' ἀναπτομένην μινυώριον ἀστέρα λέκτρων.
Ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο· θελγομένη δὲ,
μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν ἐρώτων.
Νὺξ ἦν. εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται
Χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
Ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Δὴ τότε λέανδρος ποθ' ἐθήμονος ἐλπίδι νύμφης,
Δυσκελάδων πεφόρητο θαλασσαίων ὑμεναίων,
Ἤδη κύματι κῦμα κυλίνδετο σύνθετο δ' ὕδωρ.
αἰθέρι μίσγετο πόντος ἀνέγρετο πάντοθεν ἠχὴ.
μαρναμένων ἀνέμων· ζεφύρῳ δ' ἀντέπνεεν εὖρος,
καὶ νότος ἐς βορέην μεγάλας ἐφίηκεν ἀπειλάς.
καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης.
αἰνοπαθὴς δὲ λέανδρος ἀκηλήτοις ἐνὶ δίναις,
Πολλάκι μὲν λιτάνευε θαλασσαίην ἀφροδίτην.
Πολλάκι δ' αὐτὸν ἄνακτα ποσειδάωνα θαλάσσης.
Ἀτθίδος οὐ βορέην ἀμνήμονα κάλλιπε νύμφης.
Ἀλλά οἱ οὔτις ἄρηγεν· ἔρως δ' οὐκ ἤρκεσε μοίρας
Πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
Θρυπτόμενος πεφόρητο· ποδῶν δέ οἱ ὤκλασεν ὁρμή.
καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων,
Πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ.
καὶ ποτὸν ἀχρήιστον ἀμαιμακέτου πίεν ἅλμης,
καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης,
καὶ ψυχὴν, καὶ ἔρωτα πολυκλαύτοιο λεάνδρου.

Εἰσέτι

καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου κυθερείης.
Ην γάμος, ἀλλ' ἀχόρευτος, ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων,
Οὐ ζυγίην ἱερήν τις ἐπευφήμησεν ἀοιδὸς,
οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν,
οὐδὲ πολυσκάρθμοις τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ,
Αλλὰ λέχος στορέσασα τελεσιγάμοισιν ἐν ὥραις
Σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὁμίχλη.
καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέποτ' ἠὼς
Νυμφίον εἶδε λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
Νήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον ἀβύδου.
Εννυχίων ἀκόρητον ἔτι πνείων ὑμεναίων.
Ηρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
παρθένος ἠματίη, νυχίη γυνή· ἀμφότεροι δὲ
πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ως οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Χρυπταδίη τέρποντο μετ' ἀλλήλων κυθερείη.
Αλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδ' ἐπὶ δηρὸν
Αλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων,
Αλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας,
Βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης,
χειμέριοι πνείοντες ἐπεστυφέλιζον ἀῆται
Λαίλαπι μαστίζοντες ὅλην ἅλα. τυπτομένης δὲ,
Ηδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσω
Χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Αλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης
Καρτερόθυμε λέανδρε· διακτορίη δέ σε πύργου,

Τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις·
Δεινὸς ἔρως καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἐστὶν ὕδωρ· τὸ δ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λάζεο πῦρ κραδίη· μὴ δείδιθι νήχυτον ὕδωρ
Δεῦρό μοι ἐς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;
ἀγνώσσεις ὅτι κύπρις ἀπόσπορος ἔστι θαλάσσης;
καὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;
Ὡς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον.
ἀμφοτέραις παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ.
Ἠόνος δ' ἐξῶρτο. δέμας δ' ἔρριψε θαλάσσῃ.
Λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνον,
αὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου
Λευγαλέης αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν εἰσόκε σηστοῦ
Πολλὰ καμὼν λέανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν.
Καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
Νύμφιον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης,
Ἤγαγε νυμφοκόμοιο μυχοὺς ἔπι παρθενεῶνος.
καὶ χρόα πάντα κάθηρε· δέμας δ' ἔχρισεν ἐλαίῳ
Εὐόδμῳ ῥοδέῳ καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
Νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἔννεπε μύθους.
Νυμφίε πολλὰ μόγησας ἃ μὴ πάθε νυμφίος ἄλλος,
Νυμφίε πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ
Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης.
Δεῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις.
Ὡς ἡ μὲν τάδ' ἔειπεν. ὁ δ' αὐτίκα λύσατο μίτρην.

πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην,
Ἀλλὰ φίλαι τε φύλαξον βαρυπνείοντας ἀήτας
μήμιν ἀποσβέσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
Λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα,
εἰ ἐτεὸν δ᾽ ἐθέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι Λέανδρος ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι.
καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων,
Λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσαι.
Ἡ μὲν φάος τανύειν. ὁ δὲ κύματα μακρὰ περῆσαι,
Παννυχίδας δ᾽ ἀνύσαντες ἀκοιμήτων ὑμεναίων
Ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ.
Ἡ μὲν ἔσω ποτὶ πύργον. ὁ δ᾽ ὀρφναίην ἀνὰ νύκτα,
μή τι παραπλάζοιτο βαλὼν σημήια πύργου
Πλῶε βαθυκρήπιδος ἐπ᾽ εὐρέα δῆμον Ἀβύδου.
Παννυχίων δ᾽ ὀάρων κρυφίους ποθέοντες ἀέθλους
Πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη
Ἀνδράσιν ὕπνον ἄγουσα καὶ οὐ ποθέοντι Λεάνδρῳ.
Ἀλλὰ πολυφλοίσβοιο παρ᾽ ἠϊόνεσσι θαλάσσης
Ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων
μαρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων,
Εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ᾽ ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην,
Ἡρὼ λύχνον ἔφαινεν. ἀναπτομένοιο δὲ λύχνου
Θυμὸν ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου.
Λύχνῳ καιομένῳ συνεκαίετο. πὰρ δὲ θαλάσσης
μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ἔτρεμε μὲν τὸ πρῶτον. ἔπειτα δὲ θάρσος ἀείρας

Οὐ γὰρ ἐμόν σε λέλυθεν. ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ
Πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης.
Ὧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ
Σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
Γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες. οὐδὲ χορεῖαι
Ἠιθέων παρέασιν. ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
Ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
Ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειὴν
Ἔμπαλιν αἰδομένη σφετέροις δ' ἐπεμέμφετο μύθοις
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέι κέντρῳ,
Φράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει,
καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται. οἷσι δ' ἀνάσσει
αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν,
αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε λεάνδρῳ.
Ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον.
παρθένε σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω,
Εἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ.
οὐ φομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνήν,
οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης,
Ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
Νήξομαι ἑλλήσποντον ἀγάρροον. οὐκ ἕκαθεν γὰρ
Ἀντία σοῖο πόληος ἔχω πτολίεθρον ἀβύδου.
Μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
Ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
Ἔσομαι ὁλκὰς ἔρωτος ἔχων σέθεν ἀστέρα λύχνον.
Καί μιν ὀπιπεύων οὐκ ὄψομαι δύντα βοώτην,
οὐ θρασὺν ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν ἁμάξης,

Πείθεο καὶ σὺ φίλη, μὴ κύπριδι μῆνιν ἐγείρῃς.
Ὡς εἰπὼν, παρέπεισεν ἀναινομένης φρένα κούρης
Θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
αἰδοῖ ἐρυθροίωσαν ὑποκλέπτουσα παρειὴν
καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ' ἴχνεσιν· αἰδομένη δὲ
πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνας.
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα. παρθενικῆς δὲ
πειθομένης ποτὶ λέκτρον· ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων,
Θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρώ.
Κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀμίχλην,
τόφρα δὲ καὶ λέανδρος ἐρωμανέεσι προσώποις.
οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ λεάνδρῳ γλυκερὴν ἀνενείκατο φωνὴν,
αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου.
Ξεῖνε· τεοῖς ἐπέεσι τάχ' ἂν καὶ πέτρον, ὀρίναις,
τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
οἴμοι τίς σ' ἐκόμισσεν ἐμὴν ἐς πατρίδα γαῖαν;
ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο, πῶς γὰρ ἀλήτης
Ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμῇ φιλότητι μιγείης;
ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι.
οὐ γὰρ ἐμῆς τοκέεσσιν ἐπεύαδεν· ἢν δ' ἐθελήσῃς,
Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν ἀφροδίτην.
γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος. ἐν δὲ σιωπῇ
Ἔργον, ὅπερ τελέεις, ἐνὶ φάδισιν ἀκούει.
Εἰπὲ δὲ μὴ κρύψῃς τεὸν οὔνομα καὶ σέο πάτρην.

Τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήια παρθενικάων.
καὶ γὰρ ὅτ' ἠιθέοισιν ἀπειλείωσι γυναῖκες,
κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαί,
παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσσας,
Τοῖον μῦθον ἔειπε πόθου βεβολημένος οἴστρῳ.
Κύπρι φίλη μετὰ κύπριν ἀθηναίη μετ' ἀθήνην.
οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξίν.
Ἀλλά σε θυγατέρεσσι διὸς κρονίωνος ἐίσκω.
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ.
Γαστὴρ ἥ σ' ἐλόχευσε μακαρτάτη. ἀλλὰ λιτάων
Ἡμετέρων ἐπάκουε. πόθου δ' οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια μετέρχεο κύπριδος ἔργα.
Δεῦρ' ἴθι μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης.
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν ἀφροδίτῃ.
παρθενικαῖς οὐ κύπρις ἰαίνεται. ἢν δ' ἐθελήσῃς
Θεσμὰ θεῆς ἐρόεντα, καὶ ὄργια πιστὰ δαῆναι,
Ἔστι γάμος καὶ λέκτρα, σὺ δ' εἰ φιλέεις κυθέρειαν
Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων.
Σὸν δ' ἱκέτην με κόμιζε, καὶ ἢν ἐθέλῃς παρακοίτην
Τόν, σοὶ ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
Ὡς θρασὺν ἡρακλῆα θοὸς χρυσόρραπις ἑρμῆς,
Θητεύειν ἐκόμιξεν ἰαρδανίῃ ποτὶ νύμφῃ.
Σοὶ δέ με κύπρις ἔπεμπε, καὶ οὐ σοφὸς ἤγαγεν ἑρμῆς
παρθένος οὔ σε λέληθεν ἀπ' ἀρκαδίης ἀταλάντη.
Ἥ ποτε μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν
παρθενίης ἀλέγουσα. χολωσαμένης δ' ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.

Θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης.
Λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπὰς
Νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
Χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
Πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν
Νεύμασι λαθριδίοισιν ὑπαγγελλέουσα Λεάνδρῳ,
Καὶ πάλιν ἀντέκλινεν· ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ὅττι πόθον ξυνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν οὖν Λείανδρος ἐδίζετο λάθριον ὥρην.
Φέγγος ἀνασείλασα κατήιεν ἐς δύσιν ἠώς.
Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ,
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης.
Ὡς ἴδε κυανόπεπλον ἐπὶ θρώσκουσαν ὀμίχλην.
Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον· ἡ δὲ σιωπῇ,
Οἷά τε χωομένη ῥοδέην ἐξείρυσε χεῖρα.
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης.
Θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα
Ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ
Ὀκναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ,
Οἷά περ οὐκ ἐθέλουσα, τοίην δ' ἀνενείκατο φωνήν.
Θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ.
Ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλην δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
Μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
Παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.

Ηεν, ὅς μιν ἐνέαιεν ἔχειν ὁμοδέμνιον Ηρώ.
Η δ' ἄρα καλλιθέμεθλον ὅπη κατὰ νηὸν ἀλᾶτο,
Εσπόμενον νόον εἶχε, καὶ ὄμματα, καὶ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠιθέοισιν ἐθαύμασε, καὶ φάτο μῦθον.
καὶ σπάρτης ἐπέβην. λακεδαίμονος ἔδρακον ἄστυ,
Ηχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
Τοίην δ' οὔπω ὄπωπα νέην ῥαδινήν θ' ἁπαλήν τε.
καὶ τάχα κύπρις ἔχει χαρίτων μίαν ὁπλοτεράων
Παπταίνων ἐμόγησα κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ηροῦς.
Οὐκ ἂν ἐγὼ κατ' ὄλυμπον ἐφιμείροιμι θεὸς εἶναι,
Ημετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ηρώ.
Εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τοίην μοι κυθέρεια νέην παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲν ἠιθέων τις ἐφώνεεν, ἄλλοθεν ἄλλος
Ελκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
αἰνοπαθὲς λείανδρε σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,
Οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,
Αλλὰ πυριβλήτοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
Οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ηροῦς.
Σὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων
καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς,
Οξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
Οφθαλμὸς δ' ὁδός ἐστιν. ἀπ' ὀφθαλμοῖο βολάων
Ελκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ετρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
Θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ.

Ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς·
Δὴ γὰρ κυπριδίη πανδήμιος ἦλθεν ἑορτή.
τὴν ἀνάσηστον ἄγουσιν ἀδώνιδι καὶ κυθερείῃ,
Πασυδίη δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι,
Ὅσοι ναιετάεσκον ἁλιστεφέων σφυρὰ νήσων·
Οἱ μὲν ἀφ' αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ κύπρου·
οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πολίεσσι κυθήρων·
οὐ λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων,
οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
οὐ φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς ἀβύδου·
οὐδέ τις ἠιθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
Αἰεὶ ὁμαρτήσαντες ὅπη φάτις ἐστὶν ἑορτῆς·
οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλὰς,
Ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων·
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρὼ,
Μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου
οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον ἦ τάχα φαίης
Ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι,
Χροιὴ γὰρ μελέων ἐρυθαίνετο. νισσομένης δὲ
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
πολλαὶ δ' ἐκ μελέων χάριτες ῥέον, οἱ δὲ παλαιοὶ
τρεῖς χάριτας ψεύσαντο πεφυκέναι. εἷς δέ τις Ἡροῦς
Ὀφθαλμὸς γελόων ἑκατὸν χαρίτεσσι τεθήλει.
Ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρετο κύπρις·
Ὣς ἡ μὲν περὶ πολλὸν ἀριστεύουσα γυναικῶν,
Κύπριδος ἀρήτειρα νέη διεφαίνετο κύπρις·
Δύσατο δ' ἠιθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν

Ἀγγελίην δ᾽ ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην,
ἀλλ᾽ ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
Λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο λεάνδρου.
Σηστὸς ἔην καὶ ἄβυδος ἐναντίον ἐγγύθι πόντου.
Γείτονες εἰσὶ πόληες, ἔρως δ᾽ ἀνὰ τόξα τιταίνων,
ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν.
Ἠΐθεον φλέξας καὶ παρθένον. οὔνομα δ᾽ αὐτῶν
Ἱμερόεις τε λέανδρος ἔην, καὶ παρθένος Ἡρὼ,
Ἡ μὲν, Σηστὸν ἔναιεν. ὁ δὲ, πτολίεθρον Ἀβύδου,
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω
Ἴκελοι ἀλλήλοισι. σὺ δ᾽ εἴ ποτε κεῖθι περήσεις.
Δίζεό μοί τινα πύργον, ὅπῃ ποτὲ σηστιὰς Ἡρὼ
Ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε λεάνδρῳ
Δίζεο δ᾽ ἀρχαίης ἁλιηχέα πορθμὸν ἀβύδου.
Εἰσέτι που κλαίοντα μόρον καὶ ἔρωτα λεάνδρου.
Ἀλλὰ πόθεν λέανδρος ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ᾽ ἐνέδησε καὶ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια. γάμων δ᾽ ἀδίδακτος ἐοῦσα,
πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ.
Ἄλλη κύπρις ἄνασσα, σαοφροσύνῃ δὲ καὶ αἰδοῖ.
Οὐδέποτ᾽ ἀγρομένῃσιν ὡμίλησε γυναιξίν.
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων.
Καὶ γὰρ ἐπ᾽ ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.
ἀλλ᾽ αἰεὶ κυθέρειαν ἱλασκομένη ἀφροδίτην
Πολλάκι καὶ τὸν ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν οὐρανίῃ, φλογερὴν φοβέουσα φαρέτρην,

Μάρκου Μουσούρου τοῦ κρητὸς εἰς Μουσαῖον.

Καὶ φρένας ἀδρήστεια θεῶν ἕλε δὴ γὰρ ἀοιδαῖς,
Στοῦτο λαχεῖν αὐτῆς μουσαῖος ἄποινα πόνων.
Τοῦτο κλύων νεμέσησ' ὅτ' ἐοῖς ἐπενήνοθεν ἔργοις
Ἀχλὺς ἀδεῖν, αὐδοὺς τ' οὐ χάδεν ὕβριν ἔρως.
Μουσαίῳ δ' ἐπέτελλεν ὅδ' ἐκνίζε ποθεύντων
Οἶστρον ἀποστρέψαι παρθενίης κάλυκας.
Αἰνείσθω δὲ μικρῇσιν ἐπιστίξας σελίδεσσιν,
Ὃς ὀλίγαις παίζων χερσὶν ἔοργεν ἔρως.

ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΘΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

ἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων
ἐ Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων.
Καὶ γάμον ἀχλυόεντα τὸν, οὐκ ἴδεν ἄφθιτος ἠώς.
Καὶ σηστὸν, καὶ ἄβυδον ὅπη γάμος ἔννυχος Ἡροῦς.
Νηχόμενόν τε, λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλοντα διακτορίην ἀφροδίτης.
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.
Λύχνον ἔρωτος ἄγαλμα τὸν, ὤφελεν αἰθέριος ζεὺς,
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐφ' ὁμήγυριν ἄστρων.
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων.
Ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων.

Γρηγορίου τοῦ θεολόγου γνῶμαι μονόστιχοι κατὰ ἀλφάβητον ἰαμβικόν.

Ηθικὸν ἀλφάβητον.

Α ρχὴν ἁπάντων καὶ τέλος ποιοῦ θεόν.
Βίου τὸ κέρδος ἐκ βίου καθ' ἡμέραν.
Γίνωσκε πάντων τῶν καλῶν τὰ δράγματα.
Δεινὸν πένεσθαι, δεινὸν εὖ πράττειν κακῶς.
Εὐεργετῶν ἔθιζε μιμεῖσθαι θεόν.
Ζήτει θεοῦ σοὶ χρηστότητα χρηστὸς ὤν.
Η σὰρξ κρατείσθω καὶ δαμαζέσθω καλῶς.
Θυμὸν χαλινοῦ· μὴ φρενῶν ἔξω πέσῃς.
Ισα μὲν ὄμμα γλῶσσα δὲ σταθμὸν ἔχοι
Κλεὶς ὠσὶ κείσθω μὴ δὲ πορνείοι γέλως.
Λύχνος βίου σοὶ παντὸς ἡγείσθω λόγος.
Μίσει τὸ εἶναι τῷ δοκεῖν οὐ πόρρ' ἔσει.
Νόει τὰ πάντα, πρᾶττε δ' ἃ πράττειν θέμις.
Ξένον σεαυτὸν ἴσθι καὶ τίμα ξένους.
Οτ' εὐπλοεῖς μάλιστα μέμνησο ζάλης.
Παντ' εὐχαρίστως τ' ἀκ θεοῦ δέχεσθαι χρή.
Ράβδος δικαίου πλεῖον ἢ τιμὴ κακοῦ.
Σοφῶν θύρας, ἔκτριβε πλουσίων δὲ μή.
Τὸ μικρὸν οὐ μικρὸν, ὅταν ἐκφέρῃ μέγα.
Υβρει χαλινοῦ καὶ μέγας ἔσῃ σοφός.
Φύλαττε σαυτὸν, πτῶμα δ' ἄλλου μὴ γέλα.
Χαρὶς φθονεῖσθαι, τὸ φθονεῖν δ' αἶσχος μέγα.
Ψυχὴ θύοιτο μᾶλλον ἢ τὸ πᾶν θεῷ.
Ω τὶς φυλάξει ταῦτα καὶ σωθήσεται.

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονας, οἵτ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν.
Οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασιν.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις.
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
Σύμφυτος. ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν
Ζεῦ πάτερ. ἦ πολλῶν τε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει. ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν.
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω.
ἐξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶν δε σαώσεις.
ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων. καὶ φράζευ ἕκαστα.
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος οὐκ ἔτι θνητός.

Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
πρῆξαι μήδ' εἰπεῖν ὅτι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
πρῆσσε δὲ μηδὲν τῶν μὴ 'πίστασαι, ἀλλὰ διδάσκευ·
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.
οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
Ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.
καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων.
μὴ δ' ἀνελεύθερος ἴσθι, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον,
πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ. λόγισαι δὲ πρὸ ἔργου.
μὴ δ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη.
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι. καὶ μετέπειτα,
Δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο. χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει. ταῦτ' ἐκμελέτα. τούτων χρὴ ἐρᾶν σε,
Ταῦτά σε τῆς θείης ἀρετῆς, ἐς ἴχνια θήσει.
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον.
Θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας.
Γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν. ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
Γνώσῃ δ' ἣ θέμις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίην,
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν. μήτε τι λήθειν,

Θανάτους μὲν πρῶτα θεοὺς νόμῳ ὡς διάκειται
Τίμα καὶ σέβου ὅρκον. ἔπειθ᾽ ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.
Τοὺς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.
Τῶν δ᾽ ἄλλων ἀρετῇ ποιοῦ φίλον ὅς τις ἄριστος.
Πραέσι δ᾽ εἶκε λόγοις ἔργοισί τε ἐπωφελίμοισι.
Μηδ᾽ ἔχθαιρε φίλον σὸν, ἁμαρτάδος εἵνεκα μικρῆς
Ὄφρα δύνῃ. δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ᾽ εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε.
Καὶ θυμοῦ, πρήξεις δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου,
Μήτ᾽ ἰδίῃ, πάντων δὲ μάλιστ᾽ αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε λόγῳ τε.
Μηδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν.
Χρήματα δ᾽ ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ᾽ ὀλέσθαι
Ὅσά τε δαιμονίῃσι τύχαις, βροτοὶ ἄλγε᾽ ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πρᾴως φέρε, μηδ᾽ ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε φράζευ.
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
Προσπίπτουσ᾽ ὧν μήτ᾽ ἐκπλήσσεο μήτ᾽ ἄρ᾽ ἐάσῃς.
Εἴργεσθαι σαυτὸν, ψεῦδος δ᾽ ἤν πέρ τι λέγηται.
Πρᾴως εἶχ᾽, ὃ δέ τοι ἐρέω ἐπὶ παντὶ τελείσθω.

Ἐκλείψει σέλας ἡλίου, ἀστρῶν τε χορεῖαι
Οὐρανὸν εἱλίξει· μήνης δέ τε φέγγος ὀλεῖται·
Ὑψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν,
Ὕψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται,
Ἶσα τ' ὄρη πεδίοις ἔσται καὶ πᾶσα θάλασσα
Οὐκ εἰς πλοῦν ἕξει, γῆ γὰρ φρυχθεῖσα κεραυνῷ.
Σὺν πηγαῖς ποταμοὶ καχλάζοντες λείψουσιν.
Σάλπιγξ δ' οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει.
Ὠρύουσα μύσος μέλλον καὶ πήματα κόσμου.
Ταρταρόεν χάος δείξει ποτὲ γαῖα χανοῦσα.
Ἥξουσι δ' ἐπὶ βῆμα θεοῦ βασιλῆος ἅπαντες,
Ῥεύσει δ' οὐρανόθεν ποταμὸς πυρὸς, ἠδέ γε θείου.
Σῆμα δέ τοι τότε πᾶσι βροτοῖς ἀριδείκετον οἷον
Τὸ ξύλον ἐν πιστοῖς τὸ κέρας τὸ ποθούμενον ἔσται.
Ἀνδρῶν εὐσεβέων ζωὴ, πρόσκομμά τε κόσμου,
Ὕδασι φωτίζον κλητοὺς ἐν δώδεκα πηγαῖς.
Ῥάβδος ποιμαίνουσα σιδηρείη γε κρατήσει.
Οὗτος ὁ νῦν προγραφεὶς ἐν ἀκροστίχοις θεὸς,
Σωτὴρ ἡμῶν ἀθάνατος βασιλεὺς ὁ παθὼν ἕνεχ' ἡμῶν

ΧΡΥΣΑ

φεύγομεν ἀργαλέην δ' οὐκ ἔπι δουλοσύνην.
οὔθ' ἡμᾶς περάασι· πόλις δὲ μέν ἐστι καὶ ἡμῖν
Καλή, ληθαίῳ κεκλιμένη πεδίῳ.
Μήποτε παρκλαίουσι καθεζόμενοι γελάσαιμεν,
τοῖς αὑτῶν ἀγαθοῖς Κύρν' ἐπιτερπόμενοι.
Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

Τέλος τοῦ Θεόγνιδος.

ΣΤΙΚΟΙ ΣΙΒΥΛΛΑΣ ΤΗΣ ΕΡΥΘΡΑΙΑΣ ΠΕ
εἰς τοῦ κυρίου ἡμῶν, ἔχοντες ἀκροστιχίδα τήνδε.
ἰησοῦς χριστὸς θεοῦ υἱὸς σωτὴρ σταυρός.

Ἱδρώσει γὰρ χθὼν κρίσεως σημεῖον ὅτ' ἔσται.
Ἥξει δ' οὐρανόθεν βασιλεὺς αἰῶσιν ὁ μέλλων
Σάρκα παρὼν κρῖναι πᾶσαν καὶ κόσμον ἅπαντα.
Ὄψονται δὲ θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι.
Ὕψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο.
Σαρκοφόρον ψυχὰς δ' ἀνθρώπων ἐπὶ βήματι κρινεῖ,
Χέρσος, ὅτ' ἄν ποτε κόσμος ὅλος καὶ ἄκανθαι γένηται.
Ῥίψωσι τ' εἴδωλα βροτοὶ καὶ πλοῦτον ἅπαντα.
Ἰχιδνῶν ῥήξει τε πύλας εἱρκτῆς ἀΐδαο.
Σὰρξ πᾶσα τότε νεκρῶν ἐς ἐλεύθερον φάος ἥξει.
Τοὺς ἁγίους, ἀνόμους τε τὸ πῦρ αἰῶσιν ἐλέγξει.
Ὁππόσα τις πράξας ἔλαθεν τότε πάντα λαλήσει.
Στήθεα γὰρ ζοφόεντα θεὸς φωστῆρσιν ἀνοίξει.
Θρῆνος δ' ἐκ πάντων ἔσται καὶ βρυγμὸς ὀδόντων.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα τά τ' ἐν παύροισι πέφυκεν
 Ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.
Οὔτις ἄποινα διδοὺς θάνατον φύγοι. οὐδὲ βαρεῖαν
 Δυστυχίαν. εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
Οὐδ' ἂν δυσφροσύνας ὅτε δὴ θεὸς ἄλγεα πέμπει
 Θνητὸς ἀνὴρ δώροις βουλόμενος προφυγεῖν.
Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
 Τεθνεώς. ἀλλά τι μοι ζῶν γένοιτ' ἀγαθόν.
Ἀσπάλαθοι τάπησιν ὁμοῖον στρῶμα θανόντι
 Τὸ ξύλον ἢ σκληρὸν γίνεται. ἢ μαλακόν.
Μήτε θεοὺς ἐπίορκον ἐπόμνυθι. οὐ γὰρ ἀνεκτὸν
 ἀθανάτοις κρύψαι χρεῖος ὀφειλόμενον.
Ὄρνιθος φωνὴν πολυπέδη ὀξὺ βοώσης.
 Ἤκουσ' ἥτε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
Ὡραίου. καί μοι κραδίην ἐπάταξε μέλαιναν,
 ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς.
Οὐδέ μοι ἡμίονοι κυφὸν ἕλκουσιν ἄροτρον,
 τῆς ἄλλης μνησθῆς εἵνεκα ναυτιλίης.
Οὐκ εἶμ' οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται οὐδ' ἐπὶ τύμβῳ.
 οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
Οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος, οὔτ' ἀνιῷτο.
 οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.
Οὔτε σε κωμάζειν ἀπερύκομαι, οὔτε καλοῦμαι.
 Ἀργαλέος γὰρ ἐὼν καὶ φίλος εὖτ' ἂν ἀπῇς.
Αἴθων μὲν γένος εἰμὶ πόλιν δ' εὐτείχεα θήβην
 οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.
Μή μ' ἀφελῶς παίζουσα, φίλους δ' εὐνάζε τοκῆας
 Ἀργυρί. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι.
Ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πολλ' ἐπεὶ ἐκ γῆς

Ἀλλ' ἔρατον θυμὸν δ' οὐ δύναται τελέσαι.
Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσι δ' ἀγαθοῖς ἀνδράσι κύρνε δίδου.
Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος, ἀλλ' ὁ μὲν ἐσθλὸς,
Τολμᾷ ἔχων τὸ κακὸν οὐκ ἐπίδηλον ὅμως·
Δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσι
Θυμὸν ὁμῶς μίσγειν ἀθανάτων τε δόσεις.
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾶν
Χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν.
Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα, καὶ νόος ἀνδρῶν
Ἐν μέσσῳ στηθῶν ἐν συνετοῖς φύεται.
Τοῖς ἀγαθοῖς σύμμισγε· κακοῖσι δὲ μὴ ποθ' ὁμάρτει
Εὖτ' ἂν ὁδοῦ τελέης τέρματα τ' ἐμπορίης.
Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα,
Τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.
Ἐκ καχεταιρείης κακὰ γίγνεται. εὖ δὲ καὶ αὐτὸς,
Γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.
Γνώμην κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην
ἀνθρώπου γνώμη, πείρατα παντὸς ἔχει.
Ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσὶν· ἦ πολὺ κρείσσων
Ὕβριος οὐλομένης λευγαλέου τε κόρου.
Ἐστι κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔτι κάκιον.
Πᾶσα γὰρ ἐκ τούτων κύρνε πέλει κακότης.
Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργὸς
Κύρνε· μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.
Κύρνε, θεοὺς αἰδοῦ, καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν, μήτε λέγειν ἀσεβῆ,
Δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι,
Οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.

Εἰ πίομαι πενίης θυμοφθόρου ἢ μελεδαίνω.
οὐδ' ἀνδρῶν ἐχθρῶν οἵ με λέγουσι κακῶς,
Ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἀπολείπει,
Κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.
κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
Ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.
Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
Ἄλλοι δ' οὔλυμπον ἐκπρολιπόντες ἔβαν.
Ὤχετο μὲν πίστις μεγάλη θεός. ὤχετο δ' ἀνδρῶν
Σωφροσύνη, χάριτές τ' ὦ φίλε γῆν ἔλιπον.
Ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
Οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
Εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
Ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Εὐσεβέων περὶ θεοὺς ἐλπίδα προσμενέτω.
Εὐχέσθω δὲ θεοῖσι καὶ ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
Φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
Οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι.
Αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.
Μήποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνῶν,
Ζώειν ἀβλαβέως μηδὲν ἔχοντι κακόν.
Οὔτ' ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.
Ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει

Ὕστερον ἡμετέρην γνώσῃ εὐφροσύνην.
Ὅς τίς σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
Οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην,
Ὕβρις καὶ μάγνητας ἀπώλεσε καὶ κολοφῶνα.
καὶ σμύρνην πάντως κύρνε καὶ ὔμμας ὀλεῖ.
Εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ.
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.
Οἴμοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς
τοῖς δὲ φίλοις πόνος δειλὰ παθὼν γενόμην.
Κύρν' οἱ πρόσθ' ἀγαθοί, νῦν αὖ κακοὶ, οἱ δὲ κακοὶ πρὶν
Νῦν ἀγαθοί τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
Τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς. μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
Ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν
οὔτ' ἀγαθῶν μνήμην εἰδότες, οὔτε κακῶν.
Χρήματ' ἔχων πενίην μ' ὠνείδισας, ἀλλὰ τὰ μέν μοι
ἔστι. τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.
Πλοῦτε θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
Σὺν σοὶ καὶ κακὸς ὢν. γίγνομαι ἐσθλὸς ἀνήρ.
Ἥβης μέτρον ἔχοιμι. φιλεῖ δέ με φοῖβος ἀπόλλων
Λητοΐδης, καὶ ζεὺς ἀθανάτων βασιλεύς.
Ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων
Ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.
Μή με κακῶν μέμνησθε πέπονθά τοι οἷά τ' ὀδυσσεύς,
ὅς τ' ἀΐδου μέγα δῶμ' ἤλυθεν ἐξαναδύς.
Ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ χαλκῷ,
Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου.
Ἡ μὲν δήθ' ὑπέμεινε φίλῳ πρὸς παιδὶ μένουσα.
Ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Τέρπεό μοι φίλε θυμέ· τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.
Κύρνε φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος.
Συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
Νῦν μὲν τῷδ' ἐφέπου, ποτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
Κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.
πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
Γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
ὀρφνὴ γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι,
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.
οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.
οὔπω χρὴ τὸν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα,
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.
Δῆμον δ' ἀξιοῖ πολλὰ φέρειν βαρύ, οὐ γὰρ ἐπίστῃ,
τοῦθ' ἕρδειν ὅ, τι σοὶ μὴ καταθύμιον ᾖ.
Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ,
Ναίετε εὐρώτα καλλιρόῳ ποταμῷ·
εἴποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι,
εἰ δέ τι κεῖνος ἐμοί, δίς, τόσσον αὐτὸς ἔχοι,
Αργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος.
οὔτε γὰρ ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
Γιγνώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται
Εχθαίρειν· χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
Σκέπτεο δὴ νῦν ἄλλον· ἔμοιγε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἕρδειν, τῶν μοι πρόσθε χάριν τίθεσο.
Ηδη καὶ πτερύγεσσιν ἐπαίρομαι ὥς τε πετεινὸν
Εκ λίμνης μεγάλης ἄνδρα κακὸν προφυγών,
Βρόγχον ἀπορρήξας, σὺ δ' ἐμῆς φιλότητος ἁμαρτὼν

πίνωμεν· κείνου κήδεσι τερπόμενοι
Εὕδωμεν· φυλακὴ δὲ πόλευ φυλάκεσσι μελήσει,
Ἀστυφελὴς ἐρατῆς πατρίδος ἡμετέρης.
Ναὶ μὰ Δί' εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει
Ἡμέτερον κῶμον δέξεται ἀργαλέως.
Νῦν μὲν πίνοντες τερπώμεθα καλὰ λέγοντες,
Ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.
Σοὶ δὲ οἷα τε παιδὶ φίλῳ ὑποθήσομαι αὐτὸς
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλε.
Μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν· ἀλλὰ βαθείῃ,
Σῇ φρενὶ βούλευσαι· σῷ ἀγαθῷ τε νόῳ.
Τῶν γὰρ μαρναμένων μάχεται θυμός τε νόος τε,
Βουλὴ δ' ἐς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.
Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σὺ
αὔλει· καὶ μουσῶν μνησόμεθ' ἀμφότεροι.
Αὗται γὰρ τὰ δ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα,
Σοὶ καὶ ἐμοὶ μέλειν, καὶ ἀμφιπερικτύοσιν.
Τιμᾷ γὰρ ἀπόλλων ὀργήν· ἀπάτερθεν ὁρῶντι,
Γιγνώσκειν χαλεπὸν καί περ ἐόντι σοφῷ.
Οἳ μὲν κακότητα κατακρύψαντες ἔχουσι
Ρλούτω· τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ
Ἐν δ' ἥβῃ παρὰ μὲν ξυνομήλικι κάλλιον εὕδειν
Ἱμερτῶν ἔργων ἐξέρον ἱέμενον.
Ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν,
Τούτων οὐδέν τοι ἄλλ' ἐπιτερπνότερον
Ἀνδράσιν, ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδὼς,
Τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας.
Κλαίουσ' οὐδ' ἥβης ἄνθος ἀπολλύμενον

πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ
Ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον.
Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης.
Τερπνὸν ὁμῶς καὶ καλὸν ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ
Ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.
Οὔποτ' ἐν τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
Δύσλοφον· οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.
Δειλοῖς τοι κακότητι ματαιότεροι γόοι εἰσί
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.
Ῥηιδίη τε πρῆξις ἐν ἀνθρώποις κακότητος
τοῦ δ' ἀγαθοῦ χαλεπὴ Κύρνε πέλει παλάμη.
Τόλμα θυμὲ κακοῖσιν ὅμως ἄτλητα πεπονθώς.
Δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.
Μὴ δὲ σύγ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
Ἔχθει· μὴ δ' ἄχθου· μὴ δὲ φίλους ἀνία.
Μὴ δ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηιδίως θνητὸς ἀνὴρ προφύγοι.
Οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ τάρταρος ἠερόεις.
Ἄνδρα τοι ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι
Ὡς ἐν ἐμῇ γνώμῃ Κύρνε πάλαι κέκειται.
Ἠλέα μὲν καὶ πρόσθεν ἀτὰρ πολὺ λώιον ἤδη.
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἐστὶ χάρις.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι οἵτινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.
Δεῦρο σὺν αὐλητῆρι παρακλαίοντι γελῶντες

οὐδ' ἵππων ὁρμὴ γίνεται ὠκυτέρη·
Αἵ τε τὸν ἄνδρα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
Λάβρως· πυροφόρῳ τερπόμεναι πεδίῳ.
Πῖν' ὁπόταν πίνωσιν, ὅταν τοι θυμὸν ἀσηθῇς
Μηδεὶς ἀνθρώπων γνῶσε βαρυνόμενον,
ἄλλοτέ τοι πάσχων ἀνιήσεαι· ἄλλοτε θ' ἔρδων
Χαιρήσειν δυνάσαι. ἄλλοτε τ' ἄλλος ἀνήρ·
Εἰθείης ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν
Ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων,
Σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν
Γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.
Ἦμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων,
Δείπνου τε λήγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγει·
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
Χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω.
εὐειδὴς ῥαδιναῖς χερσὶ λάκαινα κόρη.
Ἥδ' ἀρετὴ τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον·
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.
Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ·
Τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
Δὶς πέλεται πρὸς θεῶν, οὐ λύσις θανάτου
Θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει
οὐλόμενον. κεφαλῆς δ' ἅπτεται ἀκροτάτης,
Ὡς μάκαρ εὐδαίμων τε καὶ ὄλβος, ὅστις, ἄπειρος·
Ἄθλων, εἰς ἅδου δῶμα μέλαν κατέβη.

Εἴτι παθὼν, ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν εἰδῇς
Χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.
ἔς τε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου
Ἡδύ τι μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ.
Νῦν δ' ἤδη τεθόλωται ὕδωρ δ' ἀναμίσγεται ὕδει.
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.
Μήποτ' ἐπαινέσῃς πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον, ὅστις ἂν ᾖ.
Πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες.
Κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
Τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην,
ἔφθην δ' αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι
Ἤθεα, νῦν δ' ἤδη ναῦς ἅθ' ἑκὰς διέχω.
Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι,
Πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.
Οὐδεὶς ἀνθρώπων, ὃν ἐπεί ποτε γαῖα καλύψει
εἴς τ' ἔρεβος καταβῇ, δῶμά τε περσεφόνης
Τέρπεται, οὔτε λύρης, οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε διωνύσου δῶρ' ἐσαειράμενος.
Ταῦτ' ἐσορῶν κραδίην εὖ πείσομαι. ὄφρα τ' ἐλαφρὰ
Γούνατα καὶ κεφαλὴν ἀτρομέων προφέρω.
Μή μοι ἀνὴρ, εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ,
Χερσίν τε σπεύδοι χρήμασί τ' ἀμφότερα.
Μὴ δὲ παρὰ κρητῆρσι λόγοισιν ἐμὴν φρένα τέρποι,
ἀλλ' ἔρδων φαίνοιτ' εἴ τι δύναιτ' ἀγαθόν.
Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμὸν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥς τε νόημα παρέρχεται ἀγλαὸς ἥβη,

Οὔτ' ἂν πτωχεύων δυνάσαιο πλέον
Οὐδ' εἰ γῆρας ἵκοιτο τὰ χρήματα πάντ' ἀποδρᾶναι.
Ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
Εἰ μὲν γὰρ πλουτεῖς πολλοὶ φίλοι. ἢν δὲ πένηαι
Παῦροι. κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.
Φείδεσθαι μὲν ἄμεινον. ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
Οὐδείς. ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.
Παύροις ἀνθρώπων ἀρετή, καὶ κάλλος ὀπηδεῖ
Ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
Πάντες μὲν τιμῶσιν ὁμῶς ἴσοι οἵ τε κατ' αὐτὸν
Εἴκουσι χώρης. οἵ τε παλαιότεροι.
Οὐ δύναμαι φωνῇ λιγύρ' ἀειδέμεν ὥσπερ ἀηδών.
Καὶ γὰρ τὴν προτέραν νύκτ' ἐπὶ κῶμον ἔβην.
Οὐδὲ τὸν αὐλητὴν προφασίζομαι, ἀλλά μ' ἑταῖρος
Ἐκλείπει σοφίης οὐκ ἐπιδευόμενος.
Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς
Δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.
Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδὸν οὐδετέρωσε
Κλινόμενος. χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.
Πατρίδα κοσμήσω λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
Τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.
Νεβρὸν ὑπ' ἐξ ἐλάφοιο λέων, ὡς ἀλκὶ πεποιθὼς
Ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον.
Τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα
Ζευξάμενος δ' ἵπποις ἅρματος οὐκ ἐπέβην.
Πρήξας δ' οὐκ ἔπρηξα. καὶ οὐκ ἐτέλεσσα τελέσσας
Δρήσας δ' οὐκ ἔδρησ' ἤνυσα δ' οὐκ ἀνύσας.
Δειλοὺς δ' εὖ ἕρδοντι δύω κακά, τῶν τε γὰρ αὐτοῦ
Χηρώσει πολλῶν καὶ χάρις οὐδεμία.

Κύρνε, μὴ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλεπαίνειν
Γιγνώσκων· ὡς νῦν οἷον ἕκαστος ἔχει
Αὐτὸς ἐνὶ στήθεσσι καὶ ἔργματα τῶν τε δικαίων.
τῶν τ' ἀδίκων, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.
Ἐστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινον γ' ἔργον ἑκάστου.
Οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός,
Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν
Κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
Εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν ὁπόσον τις
Ἤμελλ' ἐκτελέσας εἰς ἀΐδαο περᾶν.
Εἰκὸς ἂν ἦν ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνε
Φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον.
Νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρε,
Καὶ δάκνομαι ψυχήν. καὶ δίχα θυμὸν ἔχω.
Ἐν τριόδῳ ἕστηκα. δύ' εἰσὶ πρόσθεν ὁδοί μοι
Φροντίζω τούτων ἥν τιν' ἴω προτέρην.
Ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
Ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
Εἶδον μὲν γὰρ ἔγωγ' ὃς ἐφείδετο κοὔποτε γαστρὶ
Σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου,
Ἀλλὰ πρὶν ἐκτελέσαι, κατέβη δόμον ἀΐδος εἴσω.
Χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν.
Ὡς τ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν, ᾧ κ' ἐθέλοι τις.
Εἶδον δ' ἄλλον ὃς ᾗ γαστρὶ χαριζόμενος.
Χρήματα μὲν διέτριψεν. ἔφη δ' ὑπάγω φρένα τέρψας
Πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.
Οὕτω δημόκλεις κατὰ χρήματ' ἄριστον ἁπάντων,
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
Οὔτε γὰρ ἂν προκαμὼν. ἄλλῳ κάματον μεταδοίης

Εσθλὸν, ὃς οὐθ' αὑτῷ βέλτερος οὐδὲν ἐὼν
Οὔτε φίλοις, ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται.
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.
Εν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
Χάλκεος, ἀνθρώπων δεῖμα παλαιγενέων,
Εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλοῦσι,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.
Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι, οὐδέ σε πάμπαν
Οὔτε ποτ' ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
Εσθλὸς καὶ κακὸς ἐσσὶ τίς, ἄν σέ γε μωμήσαιτο
τίς δ' ἂν ἐπαινήσῃ μέτρον ἔχων σοφίης.
Πῖν' οἶνον τὸν ἐμῆς κορυφῆς ταϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
Οὔρεος ἐν βύσσῃσι θεοῖσι φίλος θεότιμος,
Εκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας
Θωρυχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος
Εἰρήνη καὶ πλοῦτος ἔχει πόλιν, ὄφρα μετ' ἄλλων
Κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου,
Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος.
Οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα,
Αλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβαίντα
Ιππων, μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.
Οἴμοι ἀναλκίης. ἀπὸ μὲν κήρινθος ὄλωλε
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον.
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν,
Ως κυψελλίζον ζεὺς ὀλέσειε γένος.
Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ
οὐδ' ἀγνωμοσύνης κύρν' ὀδυνηρότερον.

Διὸς καί τοι πόσιος κῆ ρου δειλοῖσι βροτοῖσι.
    Δίψα λυσιμελὴς καὶ μέθυσις χαλεπή.
Τούτων δ' αὖ τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
    Οὔτε τι μὴ πίνειν, οὔτε λίαν μεθύειν.
Οἶνος ἐμοὶ, τὰ μὲν ἄλλα χαρίζεται· ἓν δ' ἀχάριστος
    Εὖτ' αὖ θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγει,
Ἀλλ' ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται,
    Τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.
Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν·
    Εὖ δὲ θέμεν τὸ κακῶς κείμενον, ἀργαλέον.
Λὰξ ἐπίβα δήμῳ κενεόφρονι τύπτε δὲ κέντρῳ
    Ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.
Οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
    ἀνθρώπων· ὁπόσους ἠέλιος καθορᾷ.
Ζεὺς ἄνδρ' ἐξολέσειεν ὀλύμπιος ὃς τὸν ἑταῖρον
    Μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.
Ἤδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λῷον ἀνῦν
    τοὔνεκα τοῖς δειλοῖς οὐδεμί' ἐστὶ χάρις.
Πολλάκις ἡ πόλις ἥδε δι' ἡγεμόνων κακότητα,
    Ὥσπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμε.
Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δειλὸν ἔχοντα.
    Αὐχέν' ἀποστρέψας, οὐδ' ἐσορᾶν ἐθέλει.
Ἢν δέ τί μοι ποθὲν ἐσθλὸν ἃ παυράκι γίνεται ἀνδρὶ
    Πολλοὺς ἀσπασμοὺς, καὶ φιλότητας ἔχω,
Οἵ με φίλοι προδιδοῦσι καὶ οὐκ ἐθέλουσι τι δοῦναι,
    ἀνδρῶν φαινομένων, ἀλλ' ἐγὼ αὐτομάτη
Ἑσπερίη τ' ἔξειμι. καὶ ὀρθρίη αὖτις ἔσειμι,
    Ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.
Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον

Ομφὴν σημείων ἢ πόνος ἐξ ἀδύτου.
Οὔτέ τι γὰρ πρoσθεὶς οὐδὲν κέτι φάρμακον εὕροις,
Οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις
Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος ἔτι κάκιον.
Τῶν δ' ἄλλων πάντων κύρν' ἀνιηρότατον.
Οἴμε φίλοι προὔδωκαν, ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
Εἰδήσω καὶ τὸν, ὅν τιν' ἔχουσι νόον.
Βοῦς μοι ἐπιπλώσας κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
Ισχει.κωτίλλειν καί περ ἐπιστάμενον
Κύρν' ἔμπης δ' ὅτι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι
ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.
Ες πολὺ ἄρρηκτον κακὸν ἥκομεν. ἔνθα μάλιστα
Κύρνε σὺν ἀμφοτέροις μοῖρα λάβοι θανάτου.
Οἵδ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
Τούτων τοι χώρη κύρν' ὀλίγη τελέθει.
Μή τέ τιν' αὔξε τύραννον ἐπ' ἐλπίσι κέρδεος εἵνεκα,
μήτε κτεῖνε, θεῶν ὅρκια συνθέμενος.
Πῶς ἡμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
Θυμός. γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
Ητε φέρει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
Ξανθῇσί τε κόμαις πορφυρέους στεφάνους.
Αλλ' ἄγε δὴ σκύθα κεῖρε κόμην, ἀπόπαυε δὲ κωμῶν.
Πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.
Πίστει χρήματ' ὄλεσα. ἀπιστίῃ δ' ἐσάωσα.
Γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων,
πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθορᾷ. οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων κύρνε θεῶν μακάρων,
Αλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.

Παικίωντε χοροῖς ἰαχῇσι τε σὸν περὶ βωμόν·
  Ἦ γὰρ ἔγωγε δέδοικ' ἀφραδίην ἐσορῶν.
Καὶ στάσιν ἑλλήνων λαοφθόρον, ἀλλὰ σὺ φοῖβε
  Ἵλαος ἡμετέρην τὴν δὲ φύλασσε πόλιν.
Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς σικελικὴν ποτε γαῖαν,
  ἦλθον δ' εὐβοίης ἀμπελόεν πεδίον,
Σπάρτην τ' εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ.
  Καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
Ἀλλ' οὔτις μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
  οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.
Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
  ἀντ' ἀρετῆς σοφίης, ἀλλὰ τόδ' αἰὲν ἔχων.
Τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ.
  καὶ μετὰ τῶν ἀγαθῶν. ἐσθλὸν ἔχοιμι νόον.
Μή τέ τινα ξεῖνον δηλεύμενος ἔργμασι λυγροῖς,
  Μή τέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐών.
Τὴν σαυτοῦ φρένα τέρπε δυσηλεγέων δὲ πολιτῶν
  ἄλλος τοί σε κακῶς. ἄλλος ἄμεινον ἐρεῖ.
Τὸν δ' ἀγαθὸν ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ
  τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.
Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίνεται οὐδείς.
  ἀλλ' ὡς λώϊον, ὃς μὴ πλεόνεσσι μέλει.
Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσεται οὔτε πέφυκεν,
  ὅς τις πᾶσιν ἁδὼν δύσεται εἰς ἀΐδην.
Οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει
  Ζεὺς κρονίδης θνητοῖς πᾶσιν ἁδεῖν δύναται.
Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν,
  Εὐθύτερον χρὴ μὲν κύρνε φυλασσόμενον,
Ὧ τινίκεν πυθῶνι θεὸς χρήσας ἱέρεια

Ὀμφὴν

Οὔτε τι ἀθανάτων μῆνιν ἀλευόμενος,
Ὑβρίζει πλούτῳ κεκορημένος. οἱ δὲ δίκαιοι
φύχονται χαλεπῇ τειρόμενοι πενίῃ.
Ταῦτα μαθὼν φίλ' ἑταῖρε δικαίως χρήματα ποιοῦ
Σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης.
Αἰεὶ τῶν δ' ἐπέων μεμνημένος, ἐς δὲ τελευτὴν
αἰνήσεις. μύθῳ σώφρονι πειθόμενος.
Ζεὺς μὲν τῆς δὲ πόληος ὑπερέχοι αἰθέρι ναίων
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ.
Ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοὶ αὐτὰρ ἀπόλλων
ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
Φόρμιγξ αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός,
Ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσάμενοι
πίνωμεν χαρίεντα μετ' ἀλλήλοισι λέγοντες
μηδὲν τὸν μήδων δειδιότες πόλεμον.
Ὧδ' εἶναι καὶ ἄμεινον εὔφρονα θυμὸν ἔχοντας
Νόσφι μεριμνάων εὐφροσυνῶς διάγειν,
Τερπομένους. τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι
Γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.
Χρὴ μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
εἰδείη σοφίης μὴ φθονερὸν τελέθειν.
Ἀλλὰ τὰ μὲν μῶσθαι. τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
Τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος.
Φοῖβ' ἄναξ. αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
ἀλκαθόῳ πέλοπος παιδὶ χαριζόμενος.
αὐτὸς δὲ στρατὸν ὑβριστὴν μήδων ἀπέρυκε.
Τῆς δε πόληος, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ,
Ἦρος ἐπερχομένου, κλειτὰς πέμπωσ' ἑκατόμβας
τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ.

Σόν τι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστι·
  καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία.
Ἵπποι θ' ἡμίονοί τε· καὶ ᾧ τὰ δέοντα πάρεστι
  Γαστρί τε καὶ πλευραῖς, καὶ ποσὶν ἁβρὰ παθεῖν.
Παιδός τε καὶ γυναικὸς ὅταν δὲ κε τῶν ἀφίκηται
  Ὥρη. σὺν δ' ἥβη γίγνεται ἁρμόδιος
Ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
  χρήματ' ἔχων, οὐδεὶς ἔρχεται εἰς ἀΐδην.
Οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
  Νούσους οὐδὲ κακὸν γῆρας ἐπερχόμενον
Ζεῦ πάτερ· εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
  Ὕβριν ἁδεῖν καί σφιν τοῦτο γένοιτο φίλον
Θυμῷ σχέτλια ἔργα μετὰ φρεσὶ δ' ὅς τις ἀθηνῆς
  Ἐργάζοιτο θεῶν μηδὲν ὀπιζόμενος.
Αὐτὸν ἔπειτα πάλιν τίσαι κακά, μὴ δέ τ' ὀπίσσω,
  πατρὸς ἀτασθαλίαι παισὶ γένοιτο κακόν.
Παῖδες δ' οἵ τ' ἀδίκου πατρὸς τὰ δίκαια νοοῦντες
  ποιοῦσι κρονίδη σὸν χόλον ἁζόμενοι.
Ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες
  Μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων·
Ταῦτ' εἴη μακάρεσσιν θεοῖς φίλα· νῦν δ' ὁ μὲν ἔρδων
  Ἐκ φεύγει. τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.
Καὶ τοῦτ' ἀθανάτων βασιλεῦ. πῶς ἐστι δίκαιον,
  Ἔργων ὅς τις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
Μή τιν' ὑπερβασίην κατέχων, μήθ' ὅρκον ἀλιτρὸν,
  Ἀλλὰ δίκαιος ἐὼν μὴ τὰ δίκαια πάθη·
Τίς δὴ καὶ βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον ἔπειτα
  ἅζοιτ' ἀθανάτους· καὶ τίνα θυμὸν ἔχων
Ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τευ ἀνδρὸς

Οὐδ᾽ ἔρδειν ὅτι μὴ λώιον ᾖ τελέσαι.
Χαίρων δὴ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου
Καί σε ποσειδάων χάρμα φίλοις ἀγάγοι.
Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφρονέοντας
Γνῶναι γὰρ χαλεπὸν μέτρον ὅτ᾽ ἐσθλὰ παρῇ.
Οὐ δύναμαι σοι θυμὲ παρασχεῖν ἄρμενα πάντα.
Τέτλαθι. τῶν δὲ καλῶν, οὔτι σὺ μόνος ἐρᾷς.
Εὖ μὲν ἔχοντος ἐμοῦ, πολλοὶ φίλοι, ἢν δέ τι δεινὸν
Εγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.
Πλήθει δ᾽ ἀνθρώπων ἀρετὴ μία γίνεται ἥδε
πλουτεῖν. τῶν δ᾽ ἄλλων οὐδὲν ἄρ᾽ ἦν ὄφελος.
Οὐδ᾽ εἰ σωφροσύνην μὲν ἔχοις ῥαδαμάνθυος αὐτοῦ.
Πλείονα δ᾽ εἰδείης αἰολίδου σισύφου,
Ος τε καὶ ἐξ ἀΐδαο πολυϊδρίῃσιν ἀνῆλθεν
Πείσας περσεφόνην αἱμυλίοισι λόγοις
Ητε βροτοῖς παρέχει λήθην βλάπτουσα νόημα.
ἄλλος δ᾽ οὔπω τις τοῦτο γ᾽ ἐπεφράσατο
Ον τινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψοι,
Ελθοι δ᾽ ἐς κρυερὸν χῶρον ἀποφθιμένων.
Κυανέας τε πύλας παραμείψεται αἵτε θανόντων
ψυχὰς εἴργουσιν, καί περ ἀναινομένας,
Αλλ᾽ ἄρα κἀκεῖθεν σίσυφος πάλιν ἤλυθεν ἥρως
Ες φάος ἠελίου σφῇσι πολυφροσύναις.
Οὐδ᾽ εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα.
Γλῶσσαν ἔχων ἀγαθὴν νέστορος ἀντιθέου
Ωκύτερος δ᾽ εἴηοθα πόδας ταχεῶν ἀρπυιῶν
καὶ παίδων βορέου, τῶν ἄφαρ εἰσὶ πόδες.
Αλλά γε χρὴ πάντας γνώμην ταύτην καταθέσθαι
Ως πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν

Καὶ πρῆξαι μέν τοι τι, καὶ οὐ κακὸν ἐσθλὸν ἔγεντο
καὶ κακὸν ἐξ ἀγαθοῦ, καί τε πενιχρὸς ἀνὴρ
Αἶψα μάλ' ἐπλούτησε, καὶ ὃς μάλα πολλὰ πέπαται
Ἐξαπίνης, πάντ' οὖν ὤλεσε νυκτὶ μιᾷ.
Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
Ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.
Εἰ μὲν χρήματ' ἔχοιμι σιμωνίδη, οἷά περ ᾔδειν,
οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών.
Νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
Χρημοσύνῃ, πολλῶν γνοὺς ἄμεινον ἔτι.
Οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν,
Ἀντλεῖν δ' οὐκ ἐθέλουσιν, ὑπερβάλλει δὲ θάλασσα
Ἀμφοτέρων τοίχων, ἦ μάλα τις χαλεπῶς
Σώζεται, οἱ δ' εὕδουσι, κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν γ', ὅς φυλακὴν εἶχεν ἐπισταμένως.
Χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλε.
Δασμὸς δ' οὐκ ἔτ' ἴσως γίνεται ἐς τὸ μέσον
Φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν
Δειμαίνω μήπως ναῦν κατὰ κῦμα πίῃ.
Ταῦτά μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσι
Γιγνώσκοι δ' ἄν τις καὶ κακὸν ἂν σοφὸς ᾖ.
Πολλοὶ πλοῦτον ἔχουσιν ἀίδριες, οἱ δὲ τὰ καλὰ
Ζητοῦσι χαλεπῇ τειρόμενοι πενίῃ
Ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.
Οὐκ ἔστι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι
οὐδὲ, δίκην εἰπεῖν, οὐδενὶ τοῦτο θέμις.
Οὐ χρὴ πημαίνειν, ὅτι μὴ πημαντέον εἴη,

Κύρνε τοι, καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις·
Βουλεύου δὶς καὶ τρὶς, ὅ,τοι κ' ἐπὶ τὸν νόον ἔλθοι·
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.
Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
οὐ νῦν μὲν πολλοῖς, ἀτρεκέως δὲ ὀλίγοις.
Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὅμοιοι,
Οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.
Πολλάκι παρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὖ ῥεῖν
Ἔργ' ἀνδρῶν. βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.
Οὔτοι κ' ἤδει' οὐδεὶς, οὔτ' εὔνουν, οὔτε τὸν ἐχθρὸν
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.
Πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνοντ' ἑταῖροι
Ἐν δὲ σπουδαίῳ πρήγματι, παυρότεροι.
Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
Κείμενος ἐν μεγάλῃ θυμοῦ ἀμηχανίῃ
Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν
Αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.
Ἀδειλὴ πενίη τί ἐμοῖσι καθημένη ὤμοις
Σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον
Αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις
Ἐσθλὰ παρ' ἀνθρώπων καὶ καλ' ἐπιστάμενον.
Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισι
Κύρν', ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.
Σὺν σοὶ Κύρνε παθόντι κακῶς ἀνιώμεθα πάντες.
ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.
Μηδὲν ἄγαν χαλεποῖσιν ἄσω φρένα, μηδ' ἀγαθοῖσι
Χαῖρ' ἐπεὶ ἔστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.
Οὐδ' ὀμόσαι χρὴ τοῦτο τι, μήποτε πρῆγμα τόδ' ἔσται
Θεοὶ καὶ γὰρ νεμεσῶσ', οἷσιν ἔπεστι τέλος.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις
οἷα τανῦν ἱερὴν τήνδε πόλιν κατέχει.
Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης, πλέον ἔχειν ἔθελον.
Ἀρχῇ ἔπι ψεύδους, μικρὴ χάρις, ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον.
Γίνεται οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτεῖ
Ἀνδρὶ. καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.
Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν
αἰνῆσαι δειλοῖς ἀνδράσι ταῦτα μέλει.
Σιγᾶν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες.
Οἱ δ' ἀγαθοὶ, πάντων μέτρον ἴσασιν ἔχειν.
Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα,
Τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.
Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται.
πολλὸν γὰρ θνητῶν, κρέσσονες ἀθάνατοι.
Πόλλ' ἐν ἀμηχανίαισι κυλίνδομαι ἀχνύμενος κῆρ.
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.
Πᾶς τις πλούσιον ἄνδρα τίει. ἀτίει δὲ πενιχρὸν,
πᾶσιν ἀνθρώποις, αὐτὸς ἔνεστι νόος.
Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασι.
παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.
Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾶν αἰεί. τοῦτο γὰρ οὐ δυνατόν.
Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσιν νήφουσ' εἶναι
Αἰσχρὸν δ' ἢν νήφων πὰρ μεθύουσι μένει.
Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.
Ὧ περ μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις

Τῆς εὐεργεσίης ῥηιδίη ἀγγελίη.
Οἵ με φίλοι προδιδοῦσιν· ἐπεὶ τὸν γ' ἐχθρὸν ἀλ
Ὥς τε κυβερνήτης χοιράδας εἰναλίας
Ῥήιον δ' ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ ἐκ κακοῦ ἐσθλόν.
μή με δίδασκ'· οὔτοι τηλίκος εἰμὶ μαθεῖν.
Ἐχθαίρω κακὸν ἄνδρα· καλυψαμένη δὲ πάρειμι
μικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.
Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον
ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.
Ἀλλὰ τὰ μὲν προβέβηκεν ἀμήχανόν ἐστι γενέσθαι
Ἔργα· τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.
Πᾶσιν τοι κίνδυνος ἐπ' ἔργμασιν οὐδέ τις οἶδε
πῇ σχήσειν μέλλει πρήγματος ἀρχομένου,
Ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας
Εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
Τῷ δὲ καλῶς ποιοῦντι, θεὸς περὶ πάντα τίθησιν
Συντυχίην ἀγαθὴν ἔκλυσιν ἀφροσύνης.
Τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι
Ῥηιδίως δὲ φέρειν, ἀμφοτέρων τὸ λάχος.
Μήτε κακοῖσι νοσῶν λυποῦ φρένα μήτ' ἀγαθοῖσι
Τερφθῇς ἐξαπίνης πρὶν τέλος ἄκρον ἰδεῖν.
Ἄνθρωπε ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι.
πλὴν τούτου παντὸς χρήματός ἐστι κόρος.
Δὴν δὴ καὶ φίλοι ὦμεν· ἀτάρ τ' ἄλλοισιν ὁμίλει.
Ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.
Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτὸν, ἣν ἄρα καὶ πρὶν
Ἠλάστρεις κλέπτων ἡμετέρην φιλίην.
Ἔρρε θεοῖσιν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.

μάρτυσιν οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν.
Ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.
μηδένα πω κακότητι βιάζεο· τῷ δὲ δικαίῳ
Τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.
Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἀγείρει.
κύρν' ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
Ἀλλ' ἵπποις ἔμβαλε τανυπτερύγεσσι χαλινοὺς
Δηίων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
Οὐ πολλὸν τὸ μεσηγὺ διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.
Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.
Φράζεο κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
Ἄλλοτε πόλλ' ἕξεις· ἄλλοτε παυρότερα.
Ὥς τε σε μήτε λίην ἀφνειὸν κτήμασι γενέσθαι
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.
Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
Χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.
Κεκλῆσθαι δ' ἐς δαῖτα παρέζεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα χρεὼν σοφίην πᾶσαν ἐπιστάμενον
Τοῦ συνιεῖν ὁπότ' ἄν τι λέγῃ σοφὸν ὄφρα διδαχθῇς
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.
Ἥβῃ τερπόμενος παίζω· δηρὸν γὰρ ἔνερθεν
Γῆς, ὀλέσας ψυχήν, κείσομαι ὥς τε λίθος
Ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο
Ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι
Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα· πεῖρα δ' ἄριστον
Πολλοὶ ἀπείρητον δόξαν ἔχουσ' ἀγαθῶν.
Εὖ ἔρδων εὖ πρᾶττε· τί κ' ἄγγελον ἄλλον ἰάλλοις

Σοῦ φίλος ὤν, καὶ τάχεισ' ὡς φιλότητος ἔχεις.
Οὔτι τι τῶν ὄντων ἀποθήσομαι οὔτι τι μεῖζον
　Σῆς εἵνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
Ἢν δέ τις ἐρωτᾷ τὸν ἐμὸν βίον, ὧδε οἱ εἰπεῖν.
　Ὡς εὖ μὲν χαλεπῶς. ὡς χαλεπῶς δὲ μάλ' εὖ.
Ὡς θ' ἕνα μὲν ξεῖνον πατρώιον οὐκ ἀπολείπειν.
　Ξένια δὲ πλέον ἔς' οὐ δυνατὸς παρέχειν.
Οὔ σε μάτην ὦ πλοῦτε βροτοὶ τιμῶσι μάλιστα.
　Ἡ γὰρ ῥηιδίως τὴν κακότητα φέρεις.
Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν.
　Ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν,
Οἴμοι ἐγὼ ἥβης καὶ γήραος οὐλομένοιο.
　Τοῦ μὲν ἐπερχομένου τῆς δ' ἀπανισαμένης.
Οὔ τινα προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον
　Οὔτ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι
Αἰεί μοι φίλον ἦτορ ἰαίνεται ὁππότ' ἀκούσω
　Αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.
Χαίρω δ' εὖ πίνων καὶ ὑπ' αὐλητῆρος ἀκούων,
　Χαίρω δ' εὖ φθόγγον χερσὶ λύρην ὀχέων.
Οὔποτε δουλίη κεφαλὴ εὐθεῖα πέφυκεν,
　Ἀλλ' αἰεὶ σκολιὴ, καὐχένα λοξὸν ἔχει.
Οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται, οὔθ' ὑάκινθος
　Οὐδέποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.
Οὗτος ἀνὴρ φίλε Κύρνε πέδας χαλκεύεται αὐτῷ
　Ἢ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί
Δειμαίνω μὴ τήνδε πόλιν πουλυπαΐδη ὕβρις
　Ἥπερ κενταύρους ὠμοφάγους ὀλέση.
Χρή με παρὰ στάθμην, καὶ γνώμην τήνδε δικάσαι
　Κύρνε δίκην, ἶσόν τ' ἀμφοτέροισι δόμεν

Η παρεὼν μὴ πῖνε. σὺ δ' ἔχε τοῦτο μάταιον.
  κωτύλλεις αἰεὶ, τοὔνεκά τοι μεθύεις.
Η μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται.
  τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἀπὸ χειρὸς ἔχεις.
Αρνεῖσθαι δ' οὐκ οἶδας. ἀνίκητος δὲ τοιοῦτος
  ὃς πολλοὺς πίνων μή τι μάταιον ἐρεῖ.
Υμεῖς δ' εὖ μυθεῖσθαι παρὰ κρητῆρι μένοντες
  ἀλλήλων ἔριδος δὴν ἀπερυκόμενοι.
Εἰς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ συνάπασι,
  Χ' οὕτως συμπόσιον γίγνεται οὐκ ἄχαρι.
Αφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
  πίνετ' ὑπὲρ τὸ μέτρον, κοῦφον ἔθηκε νόον.
Εν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες.
  Γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον.
Καὶ μάλαπερ πινυτοῦ. τὸν ὑπὲρ μέτρον ἤρετο πίνων
  ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.
Οἰνοβαρῶ κεφαλὴν ὀνομάκριτε, καί με βιᾶται
  οἶνος. ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης.
Ημετέρης. τὸ δὲ δῶμα περιτρέχει. ἀλλά γ' ἀναστὰς
  πειρηθῶ. μήπως καὶ πόδας οἶνος ἔχῃ.
καὶ νόον ἐν στήθεσσι δέδοικα δὲ μή τι μάταιον
  Ερξω θωρυχθεὶς καὶ μέγ' ὄνειδος ἔχω
οἶνος πινόμενος πουλὺς κακὸν, ἢν δέ τις αὐτὸν
  πίνῃ ἐπισταμένως, οὐ κακὸν ἀλλ' ἀγαθόν.
Ηλθες δὴ κλεάριστε βαθὺν διὰ πόντον ἀνύσσας
  Ενθαδ' ἐπ' οὐδὲν ἔχοντ' ὦ τάλαν οὐδὲν ἔχων.
Νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς.
  Κλεάριστ' οἷ' ἔχομεν χ' οἷα διδοῦσι θεοί.
Τῶν δ' ὄντων τὰ ἄριστα παρέξομεν, ἢν δέ τις ἔλθῃ

Οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος·
Οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
Πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.
μήποτ' ἀπρήκτοισιν νόον ἔχε· μὴ δὲ μενοίνα
Χρήμασι, τῶν ἄνυσις γίγνεται οὐδεμία.
Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν, οὔτε τι δειλὸν
Οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔχει.
Ἀμφ' ἀρετῇ τρίβου καί σοι τὰ δίκαια φίλα
μὴ δὲ σε νικάτω κέρδος ὅτ' αἰσχρὸν ἔοι.
μηδένα τῶν δ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν·
μὴ δὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι.
μὴ δ' εὕδοντ' ἐπέγειρε σιμωνίδη ὅντινα ἡμῶν
Θωρυχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλοι.
μὴ δὲ τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν,
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιαρὸν ἔφυ.
τῷ πίνειν δ' ἐθέλοντι, παρασταδὸν οἰνοχοείτω
Οὐ πάσας νύκτας γίγνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγὼ μέτρον γὰρ ἔχων μελιηδέος οἴνου,
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.
Δείξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι
οὔτε τι γὰρ νήφω, οὔτε λίαν μεθύω.
Ος δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον· οὐκ ἔτι κεῖνος
Τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου.
μυθεῖται δ' ἀπάλαμνα τὰ νήφουσ' εἴδεται αἰσχρά.
αἰδεῖται δ' ἔρδων οὐδὲν ὅταν μεθύῃ.
Τὸ πρὶν ἐὼν σώφρων, οὔτε νήπιος, ἀλλὰ σὺ ταῦτα
Γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
Ἀλλ' ἢ πρὶν μεθύειν, ὑπανίστασο μή σε βιάσθω
Γαστὴρ, ὥστε κακὸν λάτριν ἐφημέριον.

φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν, ἢ φρένας ἐσθλὰς
Ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο
Ὅστις σώφρον' ἔθηκε τὸν ἄφρονα, καὶ κακοῦ ἐσθλόν.
εἰ δ' ἀσκληπιάδαις τοῦτο ἔδωκε θεὸς
Ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν·
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.
Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα·
Οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς, ἔγεντο κακὸς
Πειθόμενος μύθοισι σαόφροσιν. ἀλλὰ διδάσκων,
Οὔποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.
Νήπιος ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσι
Τὸν δ' αὐτοῦ ἴδιον, οὐδὲν ἐπιστρέφεται.
Οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος· ἀλλ' ὁ μὲν ἐσθλὸς
Τολμᾷ ἔχειν τὸ κακόν. κοὐκ ἐπίδηλος ὅμως.
Δειλὸς δ' οὔτε κακοῖσιν ἐπίσταται· οὔτ' ἀγαθοῖσιν
Θυμὸν ἔχων μίμνειν. ἀθανάτων δὲ δόσεις
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾶν
Χρὴ δῶρ' ἀθανάτων οἷα διδοῦσιν ἔχειν.
Εἰ μ' ἐθέλεις πλύνειν κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης,
Αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
Εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
Χρυσὸν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ.
Τοῦ χροιῆς καθύπερθε, μέλας οὐχ ἅπτεται ἰός·
Οὐδ' εὐρὼς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.
Ἄνθρωπ' ἦ γνώμης ἔλαχες μέρος ὥσπερ ἀνίης,
καὶ σώφρων οὕτως ὥσπερ ἄφρων ἐγένου.
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶν δὲ πολιτῶν,
οὕτως ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.
Οὔ τοι σύμφρον ἐστὶ γυνὴ νέα ἀνδρὶ γέροντι

Ἔντρεπε δ' ἀθανάτων, μῆνιν ἀλευάμενος.
Μηδὲν ἄγαν σπεύδειν. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
Ἔργμασιν ἀνθρώπων. πολλάκι δ' εἰς ἀρετὴν,
Σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει.
Καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακὰ, ταῦτ' ἀγαθ' εἶναι
εὐμαρέως. ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.
Φίλτατος ὢν ἥμαρτες. ἐγὼ δέ τοι αἴτιος οὐδὲν,
ἀλλ' αὐτὸς γνώμης, οὐκ ἀγαθῆς ἔτυχες.
Οὐδένα θησαυρὸν παισὶ καταθήσῃ ἀμείνω
αἰδοῦς. ἥτ' ἀγαθοῖς ἀνδράσι κύρν' ἕπεται.
Μηδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος
Ὧι γνώμη θ' ἕπεται κύρνε καὶ ᾧ δύναμις.
Πίνων δ' οὐχ οὕτως θωρύξομαι, οὐδέ με οἶνος
Ἐξάγει, ὥς τ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.
Οὐδὲν ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος.
Ἐς βάσανον δ' ἐλθὼν, παρατρίβομαι ὥς τε μολίβδῳ
χρυσός. ὑπερτερίης δ' ἄμμιν ἔνεστι νόος.
Πολλά με καὶ συνιέντα παρέρχεται, ἀλλ' ὑπ' ἀνάγκης
Σιγῶ γινώσκων ἡμετέρην δύναμιν.
πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον
ἐσθλὸν δ' ἐξελθὸν λώιον ἢ τὸ κακόν.
πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.
φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἄμαξαν ἔλαυνε
　Εἰς φιλότητα λίην κύρνε προσελκόμενος.
Ζεῦ φίλε. θαυμάζω σε, σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
　τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν.
Ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου.
　Σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον βασιλεῦ.
Πῶς δή σευ κρονίδη τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
　Ἐν ταυτῇ μοίρᾳ τόν τε δίκαιον ἔχειν.
Ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος. ἤν τε πρὸς ὕβριν
　ἀνθρώπων, ἀδίκοις ἔργμασι πειθομένων.
Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν.
　οὐδ' ὁδὸς, ἣν τιν' ἰὼν ἀθανάτοισιν ἅδοι.
Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
　Ἔργων ἴσχοντες θυμὸν ὅμως πενίης.
Μητέρ' ἀμηχανίης ἔλαβον τὰ δίκαια φιλοῦντες,
　ἥ τ' ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην.
Βλάπτουσ' ἐν στήθεσι φρένας καρτερῆς ὑπ' ἀνάγκης
　τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν.
Χρημοσύνῃ εἴκων. ἣ δὴ κακὰ πολλὰ διδάσκει.
　ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας.
Ἄνδρα καὶ οὐκ ἐθέλοντα, κακὸν δέ οἱ οὐδὲν ἔοικεν
　Ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.
Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
　φαίνεται ἔς τ' αὖ δὴ χρημοσύνη κατέχῃ,
Τοῦ μὲν γὰρ, τὰ δίκαια φρονέει νόος, οὗτε περ αἰεὶ.
　Ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ
τοῦ δ' αὖ, οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσι
　τὸν δ' ἀγαθὸν τολμᾶν, χρὴ τά τε καὶ τὰ, φέρειν.
Αἰδεῖσθαι δὲ φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους,

Δὸς δέ μοι ἀντὶ κακῶν, καί τοι παθεῖν ἀγαθόν.
Τεθναίην δ' εἰ μή τι κακῶν ἄμπαυμα μεριμνῶν
 Εὑροίμην. δοίην τ' ἀντ' ἀνιῶν ἀνίας
Αἶσα γὰρ οὕτως ἐστὶ, τίσις δ' οὐ φαίνεται ἡμῖν
 ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ
Συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην
 Χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
Τῶν εἴη μέλαν αἷμα πιεῖν. ἐπί τ' ἐσθλὸς ὄροιτο
 Δαίμων. ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.
Ὦ δειλὴ πενίη. τί μένεις προλιποῦσα παρ' ἄλλον
 ἄνδρ' ἰέναι τί δὲ δή μ' οὐκ ἐθέλοντα φιλεῖς,
Ἀλλ' ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ' ἡμῶν
 αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.
Τόλμα κύρνε κακοῖσιν ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες
 Εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν.
Ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακὸν, ὣς δὲ καὶ αὖτις
 ἐκδῦναι πειρῶ. θεοῖσιν ἐπευχόμενος
Μὴ δὲ λίην ἀποφαίνε. κακὸν δέ τι κύρν' ἀποφαίνειν
 παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.
Ἀνδρός τι κραδίη μινύθει μέγα πῆμα παθόντος.
 Κύρν', ἀποτιννυμένου δ' αὔξετ' ἐξοπίσω.
Εὖ κώτιλλε τὸν ἐχθρὸν, ὅταν δ' ὑποχείριος ἔλθῃ.
 Τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.
Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω.
 Δειλῶν τοι τελέθει κραδίη ὀξυτέρη.
Οὐ δύναμαι γνῶναι νόον ἀστῶν ὅντιν' ἔχουσιν.
 οὔτε γὰρ εὖ ἕρδων ἁνδάνω. οὔτε κακῶς.
μωμεῦνται δέ με πολλοὶ ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοὶ
 μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι. ἐν δὲ δικαίοις,
   πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.
Πολλοί τοι πλουτοῦσι κακοί. ἀγαθοὶ δὲ πένονται.
   ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ
   Χρήματ' ἀνθρώπων, ἄλλοτε ἄλλος ἔχει.
Κύρν' ἀγαθὸς μὲν ἀνὴρ, γνώμην ἔχει ἔμπεδον αἰεὶ
   τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς.
Εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσει
   ἀφραίνων, κακίην οὐ δύναται κατέχειν.
Μήποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσης
   πειθόμενος χαλεπῇ κύρνε διαβολίη.
Εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο.
   οὔποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
Εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
   θνητοῖς κύρνε. θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.
Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων
   Κύρνε, σὺν εὐθείη θεῶν δίκη ἀθανάτων
Ἥσυχος ὥσπερ ἐγὼ μέσην ὁδὸν ἔρχεο ποσὶ
   Μηδ' ἑτέροισι διδοὺς κύρνε τὰ τῶν ἑτέρων.
Μήποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι κύρνε φιλήσης
   οὐδὲ γὰρ οἴκαδε βὰς γίνεται αὐτὸς ἔτι.
Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως
   Κύρν' ἕξεις ἀρετὴν, ἥν τε λαβεῖν χαλεπόν.
Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν οἵ με φιλεῦσι.
   Τῶν τ' ἐχθρῶν μεῖζον κύρνε δυνησόμενον.
Χ' οὕτως ἂν δοκέοιμι μετ' ἀνθρώπων θεὸς εἶναι.
   ἣν ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.
Ἀλλὰ Ζεῦ τέλεσόν μοι ὀλύμπιε καίριον εὐχήν.

Δὸς

Μήθ' ὅρκῳ πίσυνος· μήτε συνημοσύνῃ.
Μηδ' ἤν ζῆν ἐθέλει παρέχειν βασιλῆα μέγιστον,
Ἐσσύνου. ἀθανάτων πιστὰ τιθεῖν ἐθέλων.
Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἀνδάνει οὐδὲν
Ὡς δὲ τὸ σῶσαι. οἱ πολλοὶ ἀνολβότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίνεται ἐσθλὰ κακοῖσιν
Ἀνδρῶν· γίνονται δ' ἐκ φαπέλοισι νόμος.
Αἰδὼς μὲν γὰρ ὄλωλεν ἀναιδίη δὲ καὶ ὕβρις
Νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.
Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.
Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος.
Φθεγγόμενος δ' ἀδαὴς οἷσι παρῇ μέλεται.
Ἐχθαίρουσι δὲ πάντες ἀναγκαίη δ' ἐπιμίξις
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.
Οὐδ' ἐθέλει φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται
Οὐδ' ὃν ἐκ γαστρὸς Κύρνε μιᾶς γεγόνει.
Ῥικρὸς καὶ γλυκὺς ἴσθι. καὶ ἀργαλέος καὶ ἀπηνὴς
Λάτροισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.
Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν
Τὸν δὲ κακὸν κινεῖν ἔστ' ἂν ἐς ὀρθὰ λάβῃς.
Οἱ κακοὶ, οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ' ἄνδρεσι κακοῖς συνθέμενοι φιλίην,
Ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν
Ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.
Ἐν μὲν σκοσίτοισιν ἀνὴρ, πεπνυμένος ἴσθι
Πάντα δέ μιν λήθειν ὥς ἀπεόντα δόκει.
Εἰ δὲ φέρειν τὰ γελοῖα θύρηφι δὲ καρτερὸς εἴης.
Γιγνώσκων ὀργὴν ἥντιν' ἕκαστος ἔχει.

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν.
  Πρᾶγμα δὲ τερπνότατον, οὗ τις ἐρᾷ τὸ τυχεῖν.
Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη. ἀλλὰ κάκιστον
  ἄνδρα φέρω. καί μοι τοῦτ' ἀνιαρότατον.
Πολλάκι δὴ μέλλησα διαρρήξασα χαλινὸν
  φεύγειν ὠσαμένη τὸν κακὸν ἡνίοχον.
Οὔ μοι πίνεται οἶνος. ἐπεὶ παρὰ παιδὶ τερείνῃ
  Ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
Ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες.
  Ὥς θαμάθ' ὑδρεύει καί με γοῶσα φέρει.
Ἔνθα μέσην παρὰ παῖδα λαβὼν ἀγκῶν' ἐφίλησα
  Δειρὴν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.
Γνωτή τοι πενίη, καὶ ἀλλοτρίη περ ἐοῦσα
  Οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας.
Πάντῃ γὰρ τοὔλασσον ἔχει. πάντῃ δ' ἐπίμυκτος.
  Πάντῃ δ' ἐχθρὰ ὁμῶς γίνεται ἔνθα περ ᾖ.
Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις
  Γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν,
Τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις θανάτου τε,
  Καὶ πασέων νούσων ἐστὶ πονηρότατον.
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις
  Χρήματα δ' ἐγκαταθῇς πολλ' ἀνιαρὰ παθών.
Τὸν πατέρ' ἐχθαίρουσι. καταρῶνται δ' ἀπολέσθαι
  καὶ στυγέουσ', ὥσπερ τὸν πτωχὸν ἐπερχόμενον.
Εἰκὸς τὸν κακὸν ἄνδρα, κακῶς τὰ δίκαια νομίζειν.
  μηδεμίαν κατόπιν ἁζόμενον νέμεσιν.
Δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πολλ' ἀνελέσθαι
  πὰρ ποδὸς ἡγεῖσθαι θ' ὡς καλὰ πάντα τιθεῖ.
Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε

τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν,
οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
Διπλάσιον σπεύδουσι, τίς ἂν κορέσειεν ἅπαντας.
Χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη.
Ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται. ἣν ὁπότε Ζεὺς
πέμψει τειρομένοις. ἄλλοτε ἄλλος ἔχει.
Ἀκρόπολις, καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ
Κύρν'. ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.
Οὐδ' ἔτι γε πρέπει ἡμῖν ἅτ' ἀνδράσι σωζομένοισιν,
λείω ὡς πόλεως τοῖχοι ἁλωσομένης.
Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ. καὶ γῆν πᾶσαν ἀειρόμενος
Ῥηιδίως θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσῃ
Ἐν πάσαις. πολλῶν κείμενος ἐν στόμασιν.
Καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
ἐν κόσμῳ, ἐρατοὶ καλά τε καὶ λιγέα
Ἄσονται, καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθμασι γαίης
Βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους.
οὐδέποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα.
Κύρνε καθ' Ἑλλάδα γῆν στρωφώμενος. ἠδ' ἀνὰ νήσους
ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον
οὐχ ἵππων νώτοισιν ἐφήμενος. ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
Πᾶσι γὰρ οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή.
ἔσσῃ ὁμῶς ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ τυγχάνω αἰδοῦς.
ἀλλ' ὥσπερ μικρὸν παῖδα, λόγοις μ' ἀπατᾷς.

Χρήματα δ' ὧ Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται.
Καὶ καθαρῶς, αἰεὶ γὰρ μόνιμον τελέθει.
Εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
Κτήσεται. εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλὼν,
Αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ. ἐς δὲ τελευτὴν,
αὖθις ἔγεντο κακὸν, θεῶν δ' ὑπερέσχε νόος.
Ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον. οὐ γὰρ ἐπ' αὐτῆς
Γίνονται μάκαρες πρήγματος ἀμπλακίης.
Ἀλλ' ὃ μὲν, αὐτὸς τίσε κακὸν χρέος, ὃς δὲ φίλοισιν
ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν.
Ἄλλον δ' οὐ κατέμαρψε δίκη θάνατος γὰρ ἀναιδὴς
Πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.
Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος,
τῆς δὲ φυγῆς ἐστὶ, τοῦτ' ἀνιηρότερον.
Οἶνόν τοι πίνειν πουλὺν κακὸν, ἢν δέ τις αὐτὸν
Πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ' ἀγαθὸς
Κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος
ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει.
Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου ὃς ποτὶ πέτρῃ
τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.
Νῦν μὲν τῇδ' ἐφέπου. ποτὲ δ' ἀλλοῖος χρόα γίνου
κρεῖσσόν τοι σοφίη γίνεται εὐτροπίης
Μηδ' ἄγαν ἄσχαλλε. ταρασσομένων πολιητῶν.
Κύρνε μέσην δ' ἔρχου. τὴν ὁδὸν ὥσπερ ἐγώ.
Ὅς τις σοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδὲν
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν.
Κεῖνος γ' ἄφρων ἐστὶ νόου βεβλαμμένος ἐσθλοῦ.
Ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
Ἀλλ' ὃ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι,

ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.
Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία.
Θεοῖς εὔχου οἷς ἐστὶ μέγα κράτος, οὔτι ἄτερ θεῶν
Γίγνεται ἀνθρώποις οὔτ' ἀγάθ' οὔτε κακά.
Ἄνδρ' ἀγαθὸν, πενίη πάντων δάμνησι μάλιστα·
καὶ γήρως πολιοῦ κύρνε καὶ ἠπιάλου.
Ἣν δὴ χρὴ φεύγοντα. καὶ ἐς μεγακήτεα πόντον
Ῥιπτεῖν. καὶ πετρῶν κύρνε κατ' ἠλιβάτων.
Καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
Οὔτ' ἕρξαι δύναται γλῶσσα δέ οἱ δέδεται.
Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίζεσθαι χαλεπῆς κύρνε λύσιν πενίης.
Τεθνάναι φίλε κύρνε πενιχρῷ βέλτερον ἀνδρὶ
Ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.
Κριοὺς μὲν καὶ ὄνους διζήμεθα κύρνε καὶ ἵππους
Εὐγενέας. καί τις βούλεται ἐξ ἀγαθῶν
Βήσεσθ. γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
Ἐσθλὸς ἀνὴρ ἤν οἱ χρήματα πολλὰ διδῷ
Οὐδεμία κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
Πλουσίου. ἀλλ' ἀφνειὸν βούλετ' ἀντ' ἀγαθοῦ.
Χρήματα μὲν τιμῶσι καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε.
Καὶ κακὸς ἐξ ἀγαθοῦ πλοῦτος ἔμιξε γένος.
Οὕτω μὴ θαύμαζε γένος πολυπαίδη ἀστῶν
Μαυροῦσθαι. σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς
Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν οὖσαν.
Εἰς οἴκους ἄγεται χρήμασι πειθόμενος
Ἔνδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
Ἐντύνει ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Οὐδέπω ἀνθρώπων παραγίγνεται ὅσ' ἐθέλησι,
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
Ανθρωποι δὲ μάταια νομίζομεν εἰδότες οὐδέν,
Θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.
Οὐδείς πω ξεῖνον πολυπαίδη ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν ἀθανάτους ἔλαθε.
Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
Η πλουτεῖν ἀδίκως χρήματα πασάμενος
Εν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι
πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς κύρνε δίκαιος ἐών.
Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν.
Ηδ' ἀρετὴ ὀλίγοις ἀνδράσι κύρν' ἕπεται.
Υβριν κύρνε θεὸς, πρῶτον κακὸν ὤπασεν ἀνδρὶ
οὗ μέλλει χώρην μηδεμίαν θέμενος
Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπω, καὶ ὅτω μὴ νόος ἄρτιος ᾖ.
μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως.
ἄλλοτε μὲν πλουτεῖν. ἄλλοτε δ' οὐδὲν ἔχειν.
μήποτε κύρν' ἀγορᾶσθαι ἔπος μέγα, οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων ὅτι νὺξ χ' ἡμέρα ἀνδρὶ τελεῖ.
πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ δαίμονι δ' ἐσθλῷ,
οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
Εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι φαύλῳ
μοχθίζουσι τέλος δ' ἔργμασιν οὐχ ἕπεται.
οὐδεὶς ἀνθρώπων, οὔτ' ὄλβιος, οὔτε πενιχρὸς,
οὔτε κακὸς νόσφιν δαίμονος, οὔτ' ἀγαθός.
Αλλ' ἄλλῳ κακόν ἐστι. τὸ δ' ἀτρεκὲς ὄλβιος, οὐδεὶς

Τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
Οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες
Μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.
Μήποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.
Πολλοί τοι πόσιος καὶ βρώσιος εἰσὶν ἑταῖροι,
Ἐν δὲ σπουδαίῳ πράγματι παυρότεροι.
Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδὲν
κύρν', οὐδ' εὐλαβίης ἐστὶ πέρι πλέονος.
Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄχετος ἄτη
κύρνε καὶ ἐξευρεῖν ῥᾴδιος ἀνδρὶ σοφῷ.
Εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λέληθε,
Ψεδνὸς ἐὼν δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει.
Τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσι
καὶ γνῶναι, πάντων τοῦτ' ἀνιηρότατον.
Οὐ καὶ ἂν εἰδείης ἀνδρὸς νόον οὔτε γυναικὸς
Πρὶν πειραθείης, ὥσπερ ὑποζυγίου.
Οὐδέ κεν εἰκάσσαις ὥσπερ ποτ' ἐς ὥριον ἐλθὼν,
Πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.
Μήτ' ἀρετὴν εὔχου πολυπαίδη ἔξοχος εἶναι,
μήτ' ἄφενος, μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.
Οὐδεὶς ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλετο, οἷς ὁσίη κύρνε μέμηλε δίκη.
Οὐδεὶς κύρν' ἄτης καὶ κέρδεος αἴτιος αὐτὸς,
Ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
Οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδὼς
Ἐς τέλος, εἴτ' ἀγαθὸν γίγνεται εἴτε κακὸν.
Πολλάκι γὰρ δοκέων θήσειν κακὸν ἐσθλὸν ἔθηκε,
Καί τε δοκῶν θήσειν ἐσθλὸν ἔθηκε κακὸν.

Οἵ τινες ἂν τολμῷεν ὁμόφρονα θυμὸν ἔχοντες
  Ἴσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν
Τοὺς δ' οὐχ εὑρήσεις διζήμενος οὐδ' ἐπὶ πάντας
  ἀνθρώπους οὓς ναῦς μὴ μία πάντας ἄγει.
Οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
  αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἐπὶ κέρδος ἄγει.
Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ.
  εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος,
Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
  Ἔχθαιρ' ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον οὗτος ἑταῖρος
  Δεινὸς κύρν' ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.
Εἴ τις ἐπαινέσειε τόσον χρόνον ὅσον ὁρῴη,
  Νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἵησι κακήν,
Τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλὸς
  ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα,
Ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος ὃς τὸν ἑταῖρον
  Γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
Ἀντὶ κασιγνήτου σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῷ
  φράζεο, καί ποτε μου μνήσεαι ἐξοπίσω.
Μηδεὶς ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι
  κύρνε, τί δ' ἔσ' ὄφελος, κεῖνος ἀνὴρ φίλος ὤν
Οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
  οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν' ἐθέλει.
Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστί,
  Ἴσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
Οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήιον ἀμῷς,
  Οὔτε κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.
Ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον ἢν δ' ἓν ἁμάρτῃς.

μουίαρχος δὲ πόλει μήποτε τῇ δὲ ἄδει.
κύρνε πόλις μὲν ἔθ' ἥδε πόλις λαοὶ δὲ δὴ ἄλλοι
οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν· οὔτε νόμους.
Αλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον.
Εξω δ' ὥς τ' ἔλαφοι τήνδ' ἐνέμοντο πόλιν.
καὶ νῦν εἰσ' ἀγαθοὶ πολυπαίδη· οἱ δὲ πρὶν ἐσθλοί.
Νῦν δειλοί, τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν.
Αλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες
οὔτε κακῶν γνώμας εἰδότες, οὔτ' ἀγαθῶν.
μηδένα τῶν δε φίλον ποιεῦ πολυπαίδη ἀστῶν
ἐκ θυμοῦ χρείης εἵνεκα μηδὲ μιῆς.
Αλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
Χρῆμα δὲ συμμίξης μηδενὶ μηδοτιοῦν
Σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν
Ως σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία
Αλλὰ δόλους ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν.
οὕτως, ὡς ἄνδρες μηκέτι σωζόμενοι.
μήποτε κύρνε κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ
εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλης τελέσαι.
Αλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο πολλὰ μογήσας,
καὶ μακρὴν ποσὶν κύρν' ὁδὸν ἐκτελέσας.
Γρῆξιν μὴ δὲ φίλοισιν ὅλως ἀνακοίνεο πᾶσι
παῦροι τοι πολλὸν πιστὸν ἔχουσι νόον.
Γαύροισι πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει.
μήποτ' ἀνήκεστον κύρνε λάβῃς ἀνίην.
Γιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ κύρνε διχοστασίῃ.
παύρους εὑρήσεις πολυπαίδη ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,

Τοῦ μεγαρέως· πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός.
ἀστοῖσιν δ' οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστὸν πολυπαίδη· οὐδὲ γὰρ ὁ ζεὺς
οὔθ' ὕων πάντας ἁνδάνει, οὔτ' ἀνέχων.
Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι οἷά περ αὐτὸς
κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυσο. μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισι
Τιμὰς, μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.
Ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο.
Καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ μετὰ τοῖσιν
ἵζεο καὶ ἅνδανε τοῖς ὧν μεγάλη δύναμις.
Εσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον
Ταῦτα μαθὼν ἀγαθοῖς ὁμίλεε. καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.
κύρνε κύει πόλις ἥδε. δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ὑμετέρης.
Αστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες. ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.
Οὐδεμίαν πω κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες.
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἁδῇ·
Δῆμόν τε φθείρωσι· δίκας τ' ἀδίκοισι διδῶσιν
οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος.
Ελπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
Μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ.
Εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
Εκ τῶν γὰρ στάσις ἐστὶ ἔμφυλοι φόνοι ἀνδρῶν.

ΘΕΟΓΝΙΔΟΣ ΜΕΓΑΡΕΩΣ ΣΙΚΕΛΙΩΤΟΥ ΓΝΩΜΑΙ ΕΛΕΓΙΑΚΑΙ.

ω Ανα λητοῦς ὑὲ διὸς τέκος, οὔποτε σεῖο
Λήσομαι ἀρχόμενος, οὐδ' ἀποπαυόμενος·
Αλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
Λείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.
Φοῖβε ἄναξ ὅτε μὲν σε θεὰ τέκε πότνια λητὼ,
φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
Αθανάτων κάλλιστον ἐπὶ τροχοειδεῖ λίμνη·
Πᾶσα μὲν ἐπλήσθη δῆλος ἀπειρεσίη
Οδμῆς ἀμβροσίης, ἐγέλασε δὲ γαῖα πελώρη,
Γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.
Αρτεμι θηροφόνη θύγατερ διὸς ἣν ἀγαμέμνων
Εἵσαθ' ὅτ' ἐς τροίην ἔπλει νηυσὶ θοαῖς.
Εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε
Σοὶ μὲν τοῦτο θεὰ σμικρὸν, ἐμοὶ δὲ μέγα.
Μοῦσαι καὶ χάριτες κοῦραι διὸς, αἵ ποτε κάδμου
Ες γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος.
Ὅττι καλὸν φίλον ἐστί· τὸ δ' οὐ καλὸν, οὐ φίλον ἐστί.
Τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων
κύρνε σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖς δ' ἔπεσι· λήσει δ' οὔποτε κλεπτομένη
Οὐδέ τις ἀλλάξει κάκιον τοῦ ἐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς ἐρέει θεύγνιδός ἐστιν ἔπη.

καρπάλιμος ἐπόρουσε βίη ἡρακληείη
κακτάμεναι μεμαὼς καὶ ῥ' ἔμβαλε χάλκεον ἔγχος
Σπερχνὸν παιδὸς ἑοῦ κοτέων πέρι τεθνειῶτος·
Ἐν σάκει μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις ἀθήνη
Ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
Δριμὺ δ' ἄρη ἄχος εἷλεν. ἐρυσσάμενος δ' ἄορ ὀξὺ
Ἔσσυτ' ἐφ' ἡρακλῆι κρατερόφρονι. τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης δεινῆς ἀκόρητος ἀυτῆς
Μηρὸν γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο,
Οὔτασ' ἐπικρατέως διὰ δὲ μέγα σάκος ἔραξε,
Δούρατι νομέσαν ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
τῷ δὲ φόβος καὶ δεῖμος ἐΰτροχον ἅρμα καὶ ἵππους.
Ἤλασαν αἶψ' ἐγγὺς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
Ἐς δίφρον θῆκαν πολυδαίδαλον. αἶψα δ' ἔπειτα.
Ἵππους μαστιέτην. ἵκοντο δὲ μακρὸν ὄλυμπον.
Υἱὸς δ' ἀλκμήνης καὶ κυδάλιμος ἰόλαος.
κύκνον συλήσαντες ἀπ' ὤμων τεύχεα καλά.
Νίσοντ' αἶψα δ' ἔπειτα πόλιν τραχῖνον ἵκοντο.
Ἵπποις ὠκυπόδεσσι ἀτὰρ γλαυκῶπις ἀθήνη
Ἐξίκετ' οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
κύκνον δ' αὖ κήυξ θάπτεν καὶ λαὸς ἀπείρων,
Οἵ γ' ἐγγὺς ναίων πόλιας κλειτοῦ βασιλῆος,
Ἄνθην, μυρμιδόνων τε πόλιν, κλειτήν τ' ἰαολκὸν.
Ἄρνην τ', ἠδ' ἑλίκην, πολλὸς δ' ἠγείρετο λαὸς
Τιμῶντες κήυκα φίλον μακάρεσσι θεοῖσι.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν ἄναυρος.
Ὄμβρῳ χειμερίῳ πλήθων. τὼς γάρ μιν ἀπόλλων,
Λητοΐδης ἤνωξ', ὅτι ῥὰ κλειτὰς ἑκατόμβας.
Ὅς τις ἄγοι πυθῶδε, βίῃ σύλασκε δοκεύων.

Ως εἶπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ
Τὸν, μὲν ἔπειτ' εἴασε διὸς ταλακάρδιος υἱός·
αὐτὸς δὲ βροτολοιγὸν ἄρηα προσιόντα δοκεύσας,
Δεινὸν ὁρῶν ὄσσοισι λέων ὥς, σώματι κύρσας·
ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
Σχίσας ὅτι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
ἐμμενέως δ' ἄρα τοῦγε κελαινὸν πίμπλαται ἦτορ
Γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιχόων ποσσὶ γλάφει· οὐδέ τις αὐτὸν
ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθεῖν, οὐδὲ μάχεσθαι,
Τοῖος ἄρ' ἀμφιτρυωνιάδης ἀκόρητος ἀϋτῆς
ἀντίος ἔστι ἄρηος ἐνὶ φρεσὶ θράσος ἀέξων·
Εσσυμένως· ὁ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν·
Ως δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ·
μακρὰ δ' ἀναθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
Υψηλός, τῷ δὴ συνενήκεται, ἔνθα μιν ἴσχει·
Τόσσῃ ὁ μὲν ἰαχῇ βρισάρματος οὔλιος ἄρης
κεκληγὼς ἐπόρουσεν· ὁ δ' ἐμμαπέως ὑπέδεκτο·
ἀλλ' ἄρ' ἀθηναίη κούρη διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
Δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα·
ἄρες ἄπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους·
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ηρακλέα κτείναντα διὸς θρασυκάρδιον υἱόν·
ἀλλ' ἄγε παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο·
Ως ἔφατ'· ἀλλ' οὐ πεῖθ' ἄρεος μεγαλήτορα θυμόν·
ἀλλὰ μέγ' ἰάχων φλογὶ ἴκελα τεύχεα πάλλων,

ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται· ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση.
Καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
Ἴδει ἐν αἰνοτάτῳ, ὁπότε χρόα σείριος ἄζει,
Τῆμος δὴ κέγχροισι περιγλῶχες τελέθουσι
Τούς τε θέρει σπείρουσιν, ὅτ᾽ ὄμφακες αἰόλονται
οἷα διόνυσος δῶκ᾽ ἀνδράσι χάρμα καὶ ἄχθος,
τὴν ὥρην μάρναντο πολὺς δ᾽ ὀρυγμαδὸς ὀρώρει.
Ὡς δὲ λέοντε δύο ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντε, ἐπὶ σφέας ὁρμήσωσι.
Δεινὴ δέ σφ᾽ ἰαχὴ ἀραβός θ᾽ ἅμα γίνετ᾽ ὀδόντων,
οἱ δ᾽ ὥς τ᾽ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχῆλαι
Πέτρῃ ἐφ᾽ ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται
αἰγὸς ὀρεσινόμου ἢ ἀγροτέρης ἐλάφοιο
Πίονος· ἥν τ᾽ ἐδάμασσε βαλὼν αἰζήιος ἀνὴρ
Ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ᾽ ἀπαλλήσεται ἄλλῃ,
Χώρου ἄιδρις ἐών· οἱ δ᾽ ὀξαλέως ἐνόησαν,
Ἐσσυμένως δὲ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο.
Ὡς οἱ κεκληγότες, ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ᾽ ἤτοι κύκνος μὲν ὑπερμενέος διὸς υἱὸν
Κτεινέμεναι μεμαὼς, σάκει ἔμβαλε χάλκεον ἔγχος.
οὐδ᾽ ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δὲ βίη ἡρακληείη,
Μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχει μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου,
Ἤλασ᾽ ἐπικρατέως· ἀπὸ δ᾽ ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη. μέγα γὰρ σθένος ἔμπεσε φωτός.
Ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πέτρη
Ἠλίβατος πληγεῖσα διὸς ψολόεντι κεραυνῷ.

Ρριωὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ενθά κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη
Χερσὶν ἐφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
Ως ἔφατ' οὐδ' ἄρα οἱ κύκνος ἐϋμμελίης ἐμενοίνα.
Τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
Δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
Παῖς τε διὸς μεγάλου καὶ ἐνυαλίοιο ἄνακτος.
Ηνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους.
Τῶν δ' ὑποσσευομένων κανάχιζε πόσ' εὐρεῖα χθών.
Ως δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρώσκουσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν
ἐμφα κυλινδομένων. εἵως πεδίον δ' ἀφίκωνται,
Ως οἱ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
πᾶσα δὲ μυρμιδόνων τε πόλις κλειτή τ' ἰαωλκὸς
Αρνη τ' ἠδ' ἑλίκη ἄνθειά τε ποιήεσσα
φωνῇ ὑπ' ἀμφοτέρων, μεγάλ' ἴαχον. οἱ δ' ἀλαλητῷ
Θεσπεσίῳ σύνισαν μέγα δ' ἔκτυπε μητίετα ζεύς.
καδδ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας
Σῆμα τιθεὶς πολέμοιο ἑῷ μέγα θαρσέι παιδί.
Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδους φρονέει δὲ θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς θήγει δέ τε λευκὸν ὀδόντα
Δοχμωθείς. ἀφρὸς δὲ περὶ στόμασι χλόωντι
Λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι εἴκτην.
Ορθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρὴν,
Τῷ ἴκελος διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
Ημος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ

Ἂψ δ' ἀναχωρήσασθαι, ἐπεὶ οὔ τοι αἴσιμόν ἐστιν.
Οὐδ' ἵππους ἐλέειν, οὔτε κλυτὰ τεύχεα τοῖο.
Ὣς εἰποῦσ' ἐς δίφρον ἐπεβήσετο δῖα θεάων
Νίκην ἀθανάτῃσι χερσὶν καὶ κῦδος ἔχουσα,
Ἐσσυμένως. τότε δή ῥα διόγνητος ἰόλαος.
Σμερδαλέον θ' ἵπποισιν ἐκέκλετο. τοὶ δ' ὑπ' ὁμο
Ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο. (κλῆς.
Ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις ἀθήνη,
Αἰγίδ' ἀνασείσασα. περὶ στενάχησε δὲ γαῖα.
Τοὶ δ' ἄμυδις προγένονθ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ ἄρης ἀκόρητος αὐτῆς.
Τῶν θ' ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοισιν
Ὀξεῖα χρέμισαν. περὶ δέ σφιν ἄγνυτο ἠχώ.
Τὸν, πρότερος προσέειπε βίη ἡρακληείη.
Κύκνε πέπον. τίνυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους.
Ἀνδράσιν οἵ τε πόνου καὶ ὀϊζύος ἴδριες εἰμέν.
Ἀλλὰ πάρεξ ἔχε δίφρον ἐΰξοον. ἠδὲ κελεύθου
Εἶκε πάρεξ ἰέναι φθίηνδέ τοι παρελαύνω,
Ἐς κήϋκα ἄνακτα. ὃ γὰρ δυνάμει τε καὶ αἰδοῖ,
Τρηχῖνος προβέβηκε. σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός.
Τοῦ γὰρ ὀπυίεις παῖδα θεμιστονόην κυανῶπιν.
Ὦ πέπον. οὐ μὲν γάρ τοι ἄρης θανάτοιο τελευτὴν,
Ἀρκέσει. εἰ δὴ νῶϊ συνοισόμεθα πτολεμίζειν.
Ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
Ἔγχεος ἡμετέρου. ὅθ' ὑπὲρ πύλου ἠμαθόεντος,
Ἀντίος ἔστη ἐμεῖο μάχης ἄμοτον μενεαίνων.
Τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς, ἠρείσατο γαίῃ
Οὐταμένου σάκεος. τὸ δὲ τέτρατον ἤλασα μηρὸν,
Παντὶ μένει σπεύδων. διὰ δὲ μέγα σάκος ἄραξα.

Πρηνὴς

Ηνίοχοι βεβαῶτες, ἐφίεσαν ὠκέας ἵππους
Ρυτὰ χαλαίνοντες· τὰ δ' ἐπικροτέοντα πέτοντο
Αρματα κολλήεντ' ἐπὶ δὲ πλῆμναι μέγ' ἄϋτευν,
Οἱ μὲν ἄρ' ἀΐδιον εἶχον πόνον, οὐδέποτε σφιν
Νίκη ἐπηνύσθη. ἀλλ' ἄκλιτον εἶχον ἄεθλον·
Τοῖσι δὲ καὶ προὔκειτο μέγας φίπος ἐντὸς ἀγῶνος
Χρύσειος· κλυτὰ ἔργα περίφρονος ἡφαίστοιο.
Αμφὶ δ' ἴτυν ῥέεν ὠκεανὸς πλήθοντι ἐοικώς.
Πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον, οἱ δὲ κατ' αὐτὸν
Κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον. οἵ ῥά τε πολλοὶ
Νῆχον ἐπ' ἄκρον ὕδωρ· παρ δ' ἰχθύες δονέοντο
Θαῦμα ἰδεῖν καὶ ξηνὶ βαρυκτύπῳ· οὗ διὰ βουλὰς
Ηφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε.
Αρσάμενος παλάμῃσι· τὸ μὲν διὸς ἄλκιμος υἱὸς,
Πάλλεν ἐπικρατέως, ἐπὶ δ' ἱππείου θόρε δίφρου
Ικελος ἀστεροπῇ πατρὸς διὸς αἰγιόχοιο,
Κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς ἰόλαος
Δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα·
Αγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις ἀθήνη.
καί σφέας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
Χαίρετε λυγκῆος γενεὴ τηλεκλειτοῖο,
νῦν δὴ ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι·
Αλλο δέ σοι τι ἔπος ἐρέω μέγα φέρτατε λαῶν·
Εὖτ' ἂν δὴ κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
Τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο·
Αὐτὸς δὲ βροτολοιγὸν ἄρην ἐπὶ νῶτα δοκεύσας,
Ενθα γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο
Οφθαλμοῖσιν ἴδῃς, ἔνθ' οὔταμεν ὀξέϊ χαλκῷ·

Πρόσθ' ἔμιον τοῖσι δὲ χοροὶ παίζοντες ἕποντο.
Τοὶ μὲν, ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
Ἐξ ἁπαλῶν στομάτων. περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ·
Τοίγε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ·
Τοίγε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος
Πρόσθ' ἔμιον πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε.
Ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
Νῶθ' ἵππων ἐπιβάντες, ἐθύνεον. οἱ δ' ἀροτῆρες
Ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
Ἐσταλατ', αὐτὰρ ἔην βαθὺ λήϊον. οἵγε μὲν ἤμων
αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα
Βριθόμενα σταχύων, ὡσεὶ δημήτερος ἀκτήν.
Οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιπλον ἀλωήν.
Οἱ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες.
Οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
Λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων
Βριθομένων φύλλοισι καὶ ἀργυρέης ἑλίκεσσιν.
Οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. παρὰ δέ σφισιν ὄρχος
Χρύσεος ἦν. κλυτὰ ἔργα περίφρονος ἡφαίστοιο
Σειόμενος φύλλοισι καὶ ἀργυρέοισι κάμαξιν,
Βριθόμενος σταφυλῇσι μελάνθησαν δὲ μὲν αἵδε.
Οἵγε μὲν ἔτραπεον. τοὶ δ' ἤρυον. οἱ δ' ἐμάχοντο
Πύξ τε καὶ ἑλκηδόν. τοὶ δ' ὠκύποδας λαγὼς ᾕρευν,
ἄνδρες θηρευτάι καὶ καρχαρόδοντε κύνε πρὸς
Ἱέμενοι μαπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι.
Πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον. ἀμφὶ δ' ἀέθλοις
Δῆριν ἔχον καὶ μόχθον, ἐϋπλεκέων δ' ἐπὶ δίφρων

Δεδιότες. τοὶ δ' αὖτε μάχην ἔχον· αἱ δὲ, μετ' αὐτούς.
Κῆρες κυάνεαι λευκοὺς ἀραβεῦσαι ὀδόντας.
Δεινωποὶ, βλοσυροί τε, δαφοινοί τ' ἄπληστοί τε.
Δῆριν ἔχον περὶ πιπτόντων. πᾶσαι δ' ἄρ' ἵεντο,
αἷμα μέλαν πίεειν. ὃν δὲ πρῶτον μάρψοιεν
Κείμενον, ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
Βάλλ' ὄνυχας μεγάλους. ψυχὴ δ' ἀΐδος δὲ κατῆεν
Τάρταρον ἐς κρυόενθ'. αἱ δὲ φρένας εὖτ' ἀρέσαντο.
αἵματος ἀνδρομέου τὸν μὲν, ἔῤῥιπτασκον ὀπίσω.
Αψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι
Κλωθὼ καὶ λάχεσίς σφιν ἐφέστασαν. ἡ μὲν ὑφήσσων
Ατροπος· οὔτι πέλεν μεγάλη θεὸς· ἀλλ' ἄρα ἥγε
Τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε,
Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο,
Δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
Εν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο,
Παρ δ' ἀχλὺς εἱστήκει ἐπὶ σμυγερή τε καὶ αἰνή,
Χλωρὴ ἀϋσταλέη λιμῷ καταπεπτηυῖα,
Γουνοπαχής· μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν
Τῆς, ἐκ μὲν ῥινῶν, μύξαι ῥέον. ἐκ δὲ παρειῶν
Αἷμ' ἀπελείβετ' ἔραζε. ἡ δ' ἄπλητον σεσαρυῖα,
Εἱστήκει. πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους
Δάκρυσι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν
Χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι,
Επτὰ πύλαι. τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
Τέρψιν ἔχον. τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης,
Ηγοντ' ἀνδρὶ γυναῖκα. πολὺς δ' ὑμέναιος ὀρώρει.
Τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζεν
Χερσὶν ἐνὶ δμώων. ταὶ δ' ἀγλαΐαις τεθαλυῖαι

Τῷ γάρ μιν παλάμαις τεῦξε κλυτὸς ἀμφιγυήεις,
Χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἄορ ἔκειτο
Χάλκεον ἐκ τελαμῶνος. ὁ δ' ὥς τε νόημα ποτᾶτο.
Πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου
Γοργοῦς. ἀμφὶ δέ μιν κύβισις θέε, θαῦμα ἰδέσθαι,
Ἀργυρέη. θύσανοι δὲ κατηωρεῦντο φαεινοί,
Χρύσειοι. δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
Κεῖτ' ἄϊδος κυνέη, νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι, καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
Ἱέμεναι μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
Βαινουσέων, ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ,
Ὀξέα καὶ λιγέως, ἐπὶ δὲ ζώνῃσι δράκοντε
Δοιὼ ἀπηωρεῦντ', ἐπικυρτώοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώ γε. μένει δ' ἐχάρασσον ὀδόντας
Ἄγρια δερκομένω. ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείης, ἐδονεῖτο μέγας φόβος. οἱ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήια τεύχε' ἔχοντες.
Τοὶ μὲν, ὑπὸ σφετέρης πόλιος σφετέρων τε τοκήων
Λοιγὸν ἀμύνοντες. τοὶ δὲ, πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν κέατο. πλέονες δ' ἔτι δῆριν ἔχοντες
Μάρναντ', αἱ δὲ γυναῖκες ἐϋδμήτων ἐπὶ πύργων
Χάλκεον ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειὰς,
Ζωῇσιν ἴκελ' ἔργα κλυτοῦ ἡφαίστοιο.
ἄνδρες δ' οἳ πρεσβῆες ἔσαν, γῆράς τε μέμαρπτον.
Ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν. ἂν δὲ θεοῖσι
Χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι,

Ἔγχεσιν ἠδ᾽ ἐλάτης αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ᾽ ἄρηος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
Χρύσειοι· ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος ἄρης
Αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις ὡσεὶ ζωοὺς ἐναρίζων,
Δίφρῳ ἐπεμβεβαώς. παρὰ δὲ δεῖμός τε φόβος τε
Ἕστασαν, ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ διὸς θυγάτηρ ἀγελείη τριτογένεια,
τῇ ἰκέλη, ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
Ἔγχος ἔχουσ᾽ ἐν χερσὶ, χρυσείην τε τρυφάλειαν,
αἰγίδα τ᾽ ἀμφ᾽ ὤμοις, ἐπὶ δ᾽ ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ᾽ ἦν ἀθανάτων ἱερὸς χορός. ἐν δ᾽ ἄρα μέσσῳ
Ἱμερόεν κιθάριζε λητοῦς καὶ διὸς υἱός,
Χρυσείῃ φόρμιγγι. θεῶν δ᾽ ἕδος, ἁγνὸς ὄλυμπος
Ἐν δ᾽ ἀγορὴ περὶ δ᾽ ὄλβος ἀπείριτος ἐστεφάνωτο
Ἀθανάτων ἐν ἀγῶνι θεαὶ δ᾽ ἐξῆρχον ἀοιδῆς
Μοῦσαι πιερίδες λιγὺ μελπομέναις εἰκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
Κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
Κλυζομένῳ ἴκελος, πολλοὶ γε μὲν ἀμμέσον αὐτοῦ
Δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
Νηχομένοις ἴκελοι. δοιὼ δ᾽ ἀναφυσιόωντες,
Ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς,
Τῶν, ὑπὸ χάλκειοι τρέον ἰχθύες. αὐτὰρ ἐπ᾽ ἀκταῖς,
Ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος. εἶχε δὲ χερσὶν
Ἰχθύσιν ἀμφίβληστρον ἀπορρίψοντι ἐοικώς.
Ἐν δ᾽ ἦν ἠϋκόμοιο δανάης ἱππότα περσεύς.
Οὔτ᾽ ἄρ᾽ ἐπιψαύων σάκεος ποσὶν, οὔθ᾽ ἑκὰς αὐτοῦ,
Θαῦμα μέγα φράσασθ᾽, ἐπεὶ οὐδαμῇ ἐστήρικτο.

Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν οὐπφατειῶν
Δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Οἵ τινες ἀντιβίην πόλεμον διὸς υἷι φέροιεν.
Τῶν, καὶ ὀδόντων μὲν καναχὴ πέλεν εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης. τὰ δὲ δαίετο θαυματὰ ἔργα.
Στίγματα δ' ὡς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
Κυάνεα κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν, ἠδὲ λεόντων
Ἐς σφέας δερκομένων, κοτεόντων τ' ἱεμένων τε.
Τῶν, καὶ ὁμιληδὸν στίχες ἤισαν, οὐδέ νυ τοίγε
Οὐδέτεροι τρεέτην. φρίσσόν γε μὲν αὐχένας ἄμφω.
Ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
Δοιοὶ ἀπουράμενοι ψυχάς. κατὰ δέ σφιν κελαινὸν
Αἷμ' ἀπελείβετ' ἔραζ', οἱ δ' αὐχένας ἐξεριπόντες
Κείατο τεθνειῶτες ὑπὸ βλοσυροῖσι λέουσιν.
Τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην κοτέοντε μάχεσθαι
Ἀμφότεροι χλοῦναί τε σύες χαροποί τε λέοντες.
Ἐν δ' ἦν ὑσμίνη λαπιθῶν αἰχμητάων,
Καινέα τ' ἀμφὶ ἄνακτα, δρύαντά τε, πειρίθοόν τε,
Ὁπλέα τ', ἐξάδιόν τε, φαληρόν τε, πρόλοχόν τε
Μόψον τ' ἀμπυκίδην τιταρήσιον ὄζον ἄρηος,
Θησέα τ' αἰγείδην ἐπιείκελον ἀθανάτοισιν,
Ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι θ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο,
Ἀμφὶ μέγαν πετραῖον ἠδ' ἄσβολον οἰωνιστήν.
Ἄρκτον θ' οὔρειόν τε μελαγχαίτην τε μίμαντα,
Καὶ δύο πευκείδας περιμήδεά τε δρύαλόν τε,
Ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐγδην ὡσεὶ ζωοί περ ἐόντες,

Πρόσθεν μὲν θάνατόν τ' εἶχον, καὶ δάκρυσι μῦρον,
Μέσσοι δὲ ξεστοὶ περιμήκεες· αὐτὰρ ὄπισθεν
Μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν
Ἦσαν. ὁ δ' ὄβριμον ἔγχος ἀκαχμένον αἴθοπι χαλκῷ
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε.
Δαιδαλέην ἀδάμαντος ἐπὶ κροτάφοις ἀραρυῖαν,
Ἥτ' εἴρυτο κάρη ἡρακλῆος θείοιο.
Χερσί γε μὲν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ,
Οὔτ' ἔρρηξε βαλὼν, οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ, λευκῷ τ' ἐλέφαντι,
Ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην. χρυσῷ τε φαεινῷ
Λαμπόμενον, κυάνου δὲ διαπτύχες ἠλήλαντο.
Ἐν μέσσῳ δὲ δράκοντος ἔην, φόβος οὔτι φατειός,
Ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς.
Τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων
Δεινῶν ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου,
Δεινὴ ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν
Σχετλίη. ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν.
Οἵτινες ἀντιβίην πόλεμον διὸς υἷι φέροιεν.
Τῶν, καὶ ψυχαὶ μὲν χθόνα δύνουσιν ἄϊδος εἴσω
Αὐτῶν. ὀστέα δέ σφιν περὶ ῥινοῖο σαπείσης.
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.
Ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο,
Ἐν δ' ὅμαδός τε φόβος τ', ἀνδροκτασίη τε δεδήει.
Ἐν δ' ἔρις ἐν δὲ κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ κήρ.
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,
Δεινὸν δερκομένη, καναχῇσί τε βεβρυχυῖα.

Ὅσθ' ἤ, ἢ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε,
Τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος ἐννοσίγαιος,
Ὃς θήβης κρήδεμνον ἔχει, ῥύεταί τε πόληα.
Οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
Σὰς ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
Ἀλλά γε δύσεο τεύχε' ἀρήια ὄφρα τάχιστα
Δίφρους ἐμπελάσαντες ἄρηός θ' ἡμέτερόν τε,
Μαρνώμεσθ', ἐπεὶ οὔτοι ἀτάρβητον διὸς υἱὸν,
Οὐδ' ἰφικλείδην δειδίξεται. ἀλλά μιν οἴω
Φεύξεσθαι δύο παῖδας ἀμύμονος ἀλκείδαο
Οἳ δή σφι σχεδὸν εἰσὶ λιλαιόμενοι πολέμοιο
Φυλόπιδα στήσειν, τά σφιν πολὺ φέρτερα θοίνης.
Ὣς φάτο. μείδησεν δὲ βίη ἡρακληείη
Θυμῷ γηθήσας. μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν.
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
Ἥρως ὦ ἰόλαε. διοτρεφὲς οὐκέτι τηλοῦ
Ὑσμίνη τρηχεῖα. σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
Ὣς καὶ νῦν μέγαν ἵππον ἀρείονα κυανοχαίτην,
Πάντῃ ἀναστρωφᾶν καὶ ἀρηγέμεν ὥς κε δύναιο,

Ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ
Ἡφαίστου κλυτὰ δῶρα περὶ κνήμῃσιν ἔθηκε.
Δεύτερον αὖ θώρηκα περὶ στήθεσιν ἔδυε
Καλὸν, χρύσειον, πολυδαίδαλον, ὅν ῥ' οἱ ἔδωκε
Παλλὰς ἀθηναίη κούρη διὸς, ὁππότ' ἔμελλε
Τὸ πρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
Θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
Δεινὸς ἀνήρ. κοίλην δὲ περὶ στήθεσι φαρέτρην
Κάββαλλετ' ἐξόπιθεν, πολλοὶ δ' ἔντοσθεν ὀϊστοὶ
Ῥιγηλοὶ, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.

πλὴν ἡρακλῆος καὶ κυδαλίμου ἰόλαου,
Κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσιν.
Ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν ἰόλαον.
Ἥρως ὦ ἰόλαε βροτῶν πολὺ φίλτατε πάντων·
Ἤ τι μεθ' ἀθανάτοις μάκαρας, τοὶ ὄλυμπον ἔχουσιν
Ἤλιτεν ἀμφιτρύων· ὅτ' ἐΰστέφανον ποτὶ θήβην
Ἦλθε λιπὼν τίρυνθον ἐΰκτίμενον πτολίεθρον
Κτείνας ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων.
Ἵκετο δ' ἐς κρείοντα καὶ ἡνιόχην τανύπεπλον.
Οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον.
Ἣ δίκη ἔσθ' ἱκέτησι, τίον δ' ἄρα κηρόθι μᾶλλον.
Ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ ἠλεκτρυώνῃ,
Ἢ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
Γεινόμεθ', οὔτε φρένας ἐναλίγκιοι, οὔτε νόημα
Σός τε πατὴρ καὶ ἐγώ. τοῦ μὲν φρένας ἐξέλετο ζεύς,
Ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
Ὤιχετο τιμήσων ἀλιτήμενον εὐρυσθῆα.
Σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ' ὀπίσσω
Ἣν ἄτην ἀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
Αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους
Ὦ φίλος· ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
Ἵππων ὠκυπόδων. μέγα δὲ φρεσὶ θάρσος ἀέξων,
Ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
Μηδὲν ὑποδδείσας κτύπον ἄρεος ἀνδροφόνοιο.
Ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος,
Φοίβου ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
Ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄατοι πολέμοιο
Τὸν δ' αὖτε προσέειπεν ἀμάμυντος ἰόλαος.

ἀσπασίως τε φιλίως τε ἑὸν δόμον ἐσαφίκανε.
παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παράκοιτι
Τερπόμενος δώροισι πολυχρύσου ἀφροδίτης.
Ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε.
Οὐκέθ' ὁμὰ φρονέοντε, κασιγνήτω γε μὲν ἤστην,
τὸν μὲν χειρότερον τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
Δεινόν τε κρατερόν τε βίην ἡρακληείην.
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ κρονίωνι.
αὐτὰρ ἰφικλῆα γε δορυσσόῳ ἀμφιτρύωνι,
Κεκριμένην γενεὴν, τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ διὶ κρονίωνι θεῶν σημάντορι πάντων.
Ὃς καὶ κύκνον ἔπεφνεν ἀρητιάδην μεγάθυμον.
Εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου ἀπόλλωνος
αὐτὸν καὶ πατέρ' ὃν ἄρην ἆτον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας, ὡς πυρὸς αἰθομένοιο
Ἑσταότ' ἐν δίφρῳ. χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι,
Νύσσοντες χηλῇσι. κόνις δέ σφ' ἀμφιδεδήει
Κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
Ἵππων ἱεμένων. κεχάρητο δὲ κύκνος ἀμύμων
Ἐλπόμενος διὸς υἱὸν ἀρήϊον ἡνίοχόν τε.
Χαλκῷ δηϊώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε φοῖβος ἀπόλλων.
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην ἡρακληείην.
πᾶν δ' ἄλσος καὶ βωμὸς ἀπόλλωνος παγασαίου
Λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε αὐτοῦ.
πῦρ δ' ὡς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνου
Ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι,

πρὶν λεχέων ἐπιβῆναι ἐϋσφύρου ἠλεκτρυώνης,
πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
Ης ἀλόχου μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων ταφίων, ἰδὲ τηλεβοάων.
Ως γάρ οἱ διέκειτο. θεοὶ δ' ἐπιμάρτυροι ἦσαν.
Τῶν, ὅ γ' ὀπίζετο μῆνιν. ἐπείγετο δ' ὅττι τάχιστα
Εκτελέσαι μέγα ἔργον. ὅ οἱ διόθεν θέμις ἦεν,
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βιωτοὶ πλήξιπποι ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι, καὶ φωκῆες μεγάθυμοι
Εσποντ', ἦρχε δὲ τοῖσιν ἐῢς παῖς ἀλκαίοιο
Κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσὶν, ὄφρα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσῃ.
Ωρτο δ' ἀπ' οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων
Ιμείρων φιλότητος ἐϋζώνοιο γυναικὸς
Εννύχιος. τάχα δ' ἷξε τυφαόνιον, τόθεν αὖθις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα ζεὺς.
Ενθα καθεζόμενος, φρεσὶ μήδετο θέσκελα ἔργα.
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη. τέλεσεν δ' ἄρ' ἐέλδωρ.
αὐτῇ δ' ἀμφιτρύων λαοσσόος ἀγλαὸς ἥρως
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
Οὐδ' ὅ γ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
Ωρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς.
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
Ως δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγοι κακότητα
νούσου ὑπ' ἀργαλέης, ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
Ως ῥα τότ' ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολμήσας,

ἄγοντας εἰς πυθὼ, περιεσύλα· σκεπαθεὶς οὖν ὁ φαιστοτδύκτω ἀπίδι, πρόσεισιν εἰς τραχῖνα πρὸς κήϋκα· συμβαλὼν δὲ τῷ κύκνῳ αὐτὸν μὲν ἀναιρεῖ· τὸν δὲ ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ, κατὰ μηρὸν τιτρώσκει, καὶ οὕτως ἔρχεται πρὸς κήϋκα· ἦν δὲ ὁ κύκνος, γαμβρὸς κήϋκος ἐπὶ θυγατρὶ θεμιστονόμῃ.

ΗΣΙΟΔΟΥ ΓΟΝΗΜΑ ΓΕΡΙ ΤΗΣ ΑΣΠΙΔΟΣ ΤΟΥ ΗΡΑΚΛΕΟΥΣ.

Οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν.
τ Ἤλυθεν ἐς θήβας μετ' ἀρήιον ἀμφιτρύωνα,
Ἀλκμήνη θυγάτηρ λαοσσόου ἠλεκτρύωνος.
Ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων,
Εἴδεΐ τε μεγέθει τε νόον γε μὲν οὔτις ἔριζε
Τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
Τῆς, καὶ ἀπὸ κρῆθεν βλεφάρον τ' ἀπὸ κυανέων,
Τοῖον ἄηθ', οἷόν τε πολυχρύσου ἀφροδίτης.
Ἡ δὲ καὶ ὣς, κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
Ὡς οὔπω τις ἔτισε γυναικῶν θηλυτεράων.
Ἤ μὴν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσας,
Χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅγε πατρίδα γαῖαν
Ἐς θήβας ἱκέτευσε φερεσσακέας καδμείους.
Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
Νόσφιν ἄτερ φιλότητος ἐφιμέρου· οὐ γάρ οἱ ἦεν

Γείνατ' ὀδυσῆος ταλασίφρονος ἐν φιλότητι,
Ἄγριον, ἠδὲ λατῖνον ἀμύμονά τε κρατερόν τε.
Οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων,
πᾶσιν τυρσηνοῖσιν ἀγακλυτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' ὀδυσῆι καλυψὼ δῖα θεάων
Γείνατο ναυσίνοόν τε, μιγεῖσ' ἐρατῇ φιλότητι.
αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείνατο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι ὀλυμπιάδες, κοῦραι διὸς αἰγιόχοιο.

Τέλος τῆς Ἡσιόδου θεογονίας,

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.

Ἀφιοι στρατεύσαντες ἐπὶ τὰς ἠλεκτρύωνος
τ βοῦς ἀνεῖλον τοὺς τῆς ἀλκμήνης ἀδελφοὺς τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ ἀμφιτρύωνος βουλομένου αὐτῇ συνελθεῖν, οὐ πρότερον αὐτῷ ὑπέσχετο, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων δίκας πράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας, ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα συνέρχονται αὐτῇ ἀμφότεροι, ὅ, τε ζεὺς καὶ ὁ ἀμφιτρύων. ὁ μὲν ἐκ τοῦ πολέμου ὑποστρέψας. ζεὺς δὲ βουληθεὶς τοῖς ἀνθρώποις βοηθὸν γεννῆσαι. ἡ δὲ κύει, ἐκ μὲν ἀμφιτρύωνος ἰφικλέα. ἐκ δὲ διὸς, ἡρακλέα. ὃς καὶ ἐπὶ κύκνον ἄρεος υἱὸν ἡνίοχον ἔχων ἰόλαον στρατεύεται ὃς τὰς δεκάτας

Βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῳ εἰν ἐρυθείῃ.
Τιθωνῷ δ' ἠὼς τέκε μέμνονα χαλκοκορυστὴν
Αἰθιόπων βασιλῆα, καὶ ἠμαθίωνα ἄνακτα.
Αὐτάρ τοι κεφάλῳ φυτήσατο φαίδιμον υἱὸν
Ἴφθιμον φαέθοντα θεοῖς ἐπιείκελον ἄνδρα.
Τόν, ῥα νέον τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης
Παῖδ' ἀταλὰ φρονέοντα φιλομειδὴς ἀφροδίτη
Ὦρτ' ἀνερρειψαμένη· καί μιν ζαθέοις ἐνὶ νηοῖς,
Νηοπόλον νύχιον ποιήσατο δαίμονα δῖον,
Κούρην δ' αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης, βουλῇσι θεῶν αἰειγενετάων
Ἦγε παρ' αἰήτου τελέσας στονόεντας ἀέθλους,
Τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ
Ὑβριστὴς πελίης, καὶ ἀτάσθαλος ὀβριμοεργός.
Τούς, τελέσας ἰωλκὸν ἀφίκετο πολλὰ μογήσας,
Ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
Καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' ἰήσονι ποιμένι λαῶν,
Μήδειον τέκε παῖδα. τὸν οὔρεσιν ἔτρεφε χείρων
Φιλλυρίδης. μεγάλου δὲ διὸς νόος ἐξετελεῖτο.
Αὐτὰρ νηρηΐδες κοῦραι ἁλίοιο γέροντος.
Ἤτοι μὲν φῶκον ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσῆν ἀφροδίτην.
Πηλέϊ δὲ δμηθεῖσα θεὰ θέτις ἀργυρόπεζα
Γείνατ' ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος κυθέρεια
Ἀγχίσῃ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑληέσσης.
Κίρκη δ' ἠελίου θυγάτηρ ὑπεριονίδαο

Ολβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσας,
Ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ηελίῳ δ᾽ ἀκάμαντι τέκε κλυτὴ ὠκεανίνη
περσηίς, κίρκην τε καὶ αἰήτην βασιλῆα.
Αἰήτης δ᾽ υἱὸς φαεσιμβρότου ἠελίοιο,
Κούρην ὠκεανοῖο τελήεντος ποταμοῖο
Γῆμε θεῶν βουλῇσιν, ἰδυῖαν καλλιπάρηον,
Η δέ οἱ μήδειαν ἐύσφυρον ἐν φιλότητι
Γείναθ᾽ ὑποδμηθεῖσα διὰ χρυσῆν ἀφροδίτην.
Υμεῖς μὲν νῦν χαίρετ᾽ ὀλύμπια δώματ᾽ ἔχοντες,
Νῆσοί τ᾽ ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
Νῦν δὲ θεάων φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο.
Οσσαὶ δὴ θνητοῖσι παρ᾽ ἀνδράσιν εὐνηθεῖσαι,
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν πλοῦτον ἐγείνατο δῖα θεάων
Ιασίῳ ἥρωι μιγεῖσ᾽ ἐρατῇ φιλότητι,
Νειῷ ἐνὶ τριπόλῳ κρήτης ἐν πίονι δήμῳ,
Εσθλὸν ὃς εἶσ᾽ ἐπὶ γῆν καὶ εὐρέα νῶτα θαλάσσης,
πᾶσαν· τῷ δὲ τυχόντι καὶ οὗ κ᾽ ἐς χεῖρας ἵκηται,
τὸν δ᾽ ἀφνειὸν ἔθηκε, πολὺν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ᾽ ἁρμονίη θυγάτηρ χρυσῆς ἀφροδίτης,
Ινὼ καὶ σεμέλην καὶ ἀγαυὴν καλλιπάρηον
αὐτονόην θ᾽ ἣν γῆμεν ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ πολύδωρον ἐϋστεφάνῳ ἐνὶ θήβῃ.
Κούρη δ᾽ ὠκεανοῖο χρυσάορι καρτεροθύμῳ
Μιχθεῖσ᾽ ἐν φιλότητι πολυχρύσου ἀφροδίτης
Καλλιρόη, τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων
γηρυονῆα, τὸν, κτεῖνε βίη ἡρακληείη,



Δεινὴν, ἀγροκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
Πότνιαν· ᾗ κελαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ηρη δ' ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
Γείνατο· καὶ ζαμενῆσε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
Εκ πάντων τέχνῃσι κεκασμένον οὐρανιώνων,
Εκ δ' ἀμφιτρίτης καὶ ἐρικτύπου ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας. ὅς τε θαλάσσης
Πυθμέν' ἔχων, παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
Ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ ἄρηι
Ρινοτόρῳ κυθέρεια φόβον καὶ δεῖμον ἔτικτεν
Δεινοὺς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας·
Εν πολέμῳ κρυόεντι, σὺν ἄρηι πτολιπόρθῳ,
Αρμονίην θ' ἣν κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν,
Ζηνὶ δ' ἄρ' ἀτλαντὶς μαίη τέκε κύδιμον ἑρμῆν
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
καδμείη δ' ἄρα οἱ σεμέλη τέκε φαίδιμον υἱὸν,
Μιχθεῖσ' ἐν φιλότητι, διόνυσον πολυγηθέα
Αθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Αλκμήνη δ' ἄρ' ἔτικτε βίην ἡρακληείην,
Μιχθεῖσ' ἐν φιλότητι διὸς νεφεληγερέταο.
Αγλαΐην δ' ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις,
Οπλοτάτην χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
Χρυσοκόμης δὲ διόνυσος ξανθὴν ἀριάδνην.
Κούρην μίνωος θαλερὴν ποιήσατ' ἄκοιτιν.
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε κρονίων.
Ηβην δ' ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ις ἡρακλῆος τελέσας στονόεντας ἀέθλους,
Παῖδα διὸς μεγάλοιο καὶ ἥρης χρυσοπεδίλου
Αἰδοίην θέτ' ἄκοιτιν ἐν ὀλύμπῳ νιφόεντι.

Ολβιος

Ἴσον ἔχουσαν πατρὶ μένος, καὶ ἐπίφρονα βουλήν.
ἀλλ᾽ ἄρ᾽ ἔπειτ᾽ ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
Ἤμελλεν τέξεσθαι ὑπέρβιον ἦτορ ἔχοντα.
Ἀλλ᾽ ἄρα μιν ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
Ὥς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν θέμιν, ἣ τέκεν ὥρας.
Εὐνομίην τε, δίκην τε, καὶ εἰρήνην τε θαλυῖαν.
Αἵτ᾽ ἔργ᾽ ὡραίουσι καὶ θνητοῖσι βροτοῖσι,
Μοίρας θ᾽ ἧς πλείστην τιμὴν πόρε μητίετα ζεύς,
Κλωθώ τε λάχεσίν τε καὶ ἄτροπον αἵτε δίδουσι
Θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ εὐρυνόμη χάριτας τέκε καλλιπαρήους,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην καὶ εὐφροσύνην θαλίην τ᾽ ἐρατεινήν.
Τῶν, καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
Λυσιμελής, καλὸν δέ θ᾽ ὑπ᾽ ὀφρύσι δερκιόωνται.
ἀλλ᾽ ἄρ᾽ ὁ δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν.
Ἣ τέκε περσεφόνην λευκώλενον, ἣν ἀϊδωνεὺς
Ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα ζεύς.
Μνημοσύνης δ᾽ ἐξαῦτις ἐράσσατο καλλικόμοιο.
Ἐξ ἧς αἱ μοῦσαι χρυσάμπυκες ἐξεγένοντο,
Ἐννέα τῇσιν ἅδον θαλίαι, καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ᾽ ἀπόλλωνα καὶ ἄρτεμιν ἰοχέαιραν,
Ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων,
Γείνατ᾽ ἄρ᾽, αἰγιόχοιο διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ᾽ ἥρην θαλερὴν ποιήσατ᾽ ἄκοιτιν
Ἡ δ᾽ ἥβην καὶ ἄρηα καὶ εἰλείθυιαν ἔτικτε,
Μιχθεῖσ᾽ ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν.
Αὐτὸς δ᾽ ἐκ κεφαλῆς, γλαυκώπιδα τριτογένειαν,

Ὣς ἄρα τήκετο γαῖα σέλαι πυρὸς αἰθομένοιο.
Ῥίψε δέ μιν θυμῷ ἀκαχὼν ἐς τάρταρον εὐρύν.
Ἐκ δὲ τυφώεος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
Νόσφι νότου βορέω τε καὶ ἀργέστεω, ζεφύροιο.
Οἵ γε μὲν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουσι θάλασσαν.
Αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
Πῆμα μέγα θνητοῖσι κακῇ θύουσιν ἀέλλῃ.
Ἄλλοτε δ' ἄλλαι ἄεισι διασκιδνᾶσί τε νῆας.
Ναύτας τε φθείρουσι. κακοῦ δ' οὐ γίνεται ἀλκή.
Ἀνδράσιν, οἳ κείνοισι συναντῶντες κατὰ πόντον.
Αἱ δ' αὖ τε καὶ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν,
Ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων
Πιμπλεῖσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
Δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδ' ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν ὀλύμπιον εὐρύοπα Ζῆν'
Ἀθανάτων. ὁ δὲ, τοῖσιν εὖ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο μῆτιν,
Πλεῖστα θεῶν εἰδυῖαν καὶ θνητῶν ἀνθρώπων,
Ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν ἀθήνην
Τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας,
Αἱμυλίοισι λόγοισιν ἑὴν ἐς κάτθετο νηδύν,
Γαίης φραδμοσύνῃσι καὶ οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
Ἄλλος ἔχῃ διὸς ἀντὶ θεῶν αἰειγενετάων.
Ἐκ γὰρ τῆς, εἵμαρτο περίφρονα τέκνα γενέσθαι.
Πρώτην μὲν γὰρ κούρην γλαυκώπιδα τριτογένειαν,

Εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον· ἀμφὶ δὲ γαῖα
Σμερδαλέον κονάβησε, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πόντος τ' ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης,
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' ὄλυμπος
Ορνυμένοιο ἄνακτος. ἐπεστενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
Βροντῆς τε στεροπῆς τε πυρὸς ἀπὸ τοῖο πελώρου,
Πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
Εζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα.
Θυῖε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφὶ κύματα μακρὰ
Ριπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει.
τρέσε δ' ἄδης ἐνέροισι καταφθιμένοισιν ἀνάσσων.
Τιτῆνές θ' ὑποταρτάριοι κρόνου ἀμφὶς ἐόντες,
Ασβέστου κελάδοιο καὶ αἰνῆς δηιοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
πλῆξεν ἀπ' οὐλύμποιο ἐπάλμενος. ἀμφὶ δὲ πάσας
Επρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
Ηριπε γυιωθεὶς, στενάχιζε δὲ γαῖα πελώρη.
Φλὸξ δὲ, κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν ἀΐδνῆς παιπαλοέσσης,
Πληγέντος. πολλὴ δὲ πελώρη καίετο γαῖα.
Αὐτμῇ θεσπεσίῃ, καὶ ἐτήκετο κασσίτερος ὡς
Τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο.
Θαλφθεὶς, ἠδὲ σίδηρος ὅπερ κρατερώτατός ἐστιν,
Οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ, ὑφ' ἡφαίστου παλάμῃσιν.

Ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
Ἀργαλέ' εὐρώεντα. τάτε στυγέουσι θεοί περ.
Ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ λάινος οὐδὸς
Ἀστεμφὴς ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
Αὐτοφυής, πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων,
τιτῆνες ναίουσι πέρην χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο διὸς κλειτοὶ ἐπίκουροι,
Δώματα ναιετάουσιν ἐπ' ὠκεανοῖο θεμέθλοις
Κόττος τ' ἠδὲ γύγης βριάρεων γε μὲν ἠΰν ἐόντα
Γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος ἐννοσίγαιος·
Δῶκε δὲ κυμοπόλειαν ὀπυίειν θυγατέρα ἥν.
Αὐτὰρ ἐπεὶ τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε ζεὺς,
Ὁπλότατον τέκε παῖδα τυφωέα γαῖα πελώρη
ταρτάρου ἐν φιλότητι διὰ χρυσῆν ἀφροδίτην,
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ. ἐκ δέ οἱ ὤμων,
Ἦν ἑκατὸν κεφαλαὶ ὄφιος δεινοῖο δράκοντος
Γλώσσῃσι δνοφερῇσι λελειχμότες. ἐκ δέ οἱ ὄσσων
Θεσπεσίης κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε,
Πασσῶν δ' ἐκ κεφαλέων, πῦρ καίετο δερκομένοιο.
Φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
Παντοίην ὄπ' ἰεῖσαι ἀθέσφατον. ἄλλοτε μὲν γὰρ,
Φθέγγονθ' ὥστε θεοῖσι συνιέμεν ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω μένος ἄσχετον ὄσσαν ἀγαύρου.
Ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος.
Ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα θαύματ' ἀκοῦσαι
Ἄλλοτε δ' αὖ ῥοίζασχ' ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καὶ νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ.
καί κεν ὅ γε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,

Παῦρα δὲ θαύμαντος θυγάτηρ πόδας ὠκέα Ἶρις
Ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται.
Καί ῥ' ὅστις ψεύδηται ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
Τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ
Ψυχρόν, ὅ τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
Ὑψηλῆς, πολλὸν δ' ὑπὸ χθονὸς εὐρυοδείης
Ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας, δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίνης ἀργυρέης εἱλιγμένος εἰς ἅλα πίπτει.
Ἡ δὲ μί' ἐκ πέτρης προφέρει μέγα πῆμα θεοῖσιν.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου.
Κεῖται νηπότμος τετελεσμένον εἰς ἐνιαυτόν.
Οὐδέποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
Βρώσιος· ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος,
Στρωτοῖς ἐν λεχέεσσι, κακὸν δ' ἐπὶ κῶμα καλύπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
Ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτατος ἆθλος,
Εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων.
Οὐδέποτ' ἐς βουλὴν ἐπιμίσγεται· οὐδ' ἐπὶ δαῖτας
Ἐννέα πάντ' ἔτεα, δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
Εἰρέας ἀθανάτων, οἳ ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ στυγὸς ἄφθιτον ὕδωρ
Ὠγύγιον, τό θ' ἵησι καταστυφέλου διὰ χώρου,
Ἔνθα δὲ γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος,
Πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος

Ερχεται οὐδέποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει.
Αλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
Γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμον ἐντὸς ἐοῦσα
Μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔς τ' ἂν ἵκηται.
Η μὲν, ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα.
Ηδ', ὕπνον μετὰ χερσὶ κασίγνητον θανάτοιο
Νὺξ ὀλοὴ νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ενθα δὲ νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν
Υπνος καὶ θάνατος δεινοὶ θεοί. οὐδέποτ' αὐτοὺς
Ηέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.
Οὐρανὸν εἰσανιὼν, οὐδ' οὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Ησυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι.
Τοῦ δὲ, σιδηρέη μὲν κραδίη χάλκεον δέ οἱ ἦτορ
Νηλεὲς ἐν στήθεσσιν, ἔχει δ' ὃν πρῶτα λάβῃσιν
Ανθρώπων ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ενθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες.
Ιφθίμου τ' ἀΐδεω καὶ ἐπαινῆς περσεφονείης
Εστᾶσι. δεινὸς δὲ κύων προπάροιθε φυλάσσει
Νηλειής. τέχνην δὲ κακὴν ἔχει. ἐς μὲν ἰόντας
Σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισιν.
Εξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν. ἀλλὰ δοκεύων.
Εσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
Ιφθίμου τ' ἀΐδεω καὶ ἐπαινῆς περσεφονείης.
Ενθάδε ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι
Δεινὴ στὺξ θυγάτηρ ἀψορρόου ὠκεανοῖο
Πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει,
Μακρῇσι πέτρῃσι κατηρεφέ' ἀμφὶ δὲ πάντη
Κίοσιν ἀργυρέοισι πρὸς οὐρανὸν ἐστήρικται.

Εννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Ουρανόθεν κατιών. δεκάτη ἐς γαῖαν ἵκοιτο.
Εννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Εκγαίης κατιὼν δεκάτη δ' ἐς τάρταρον ἵκοιτο.
Τὸν, περὶ χάλκεον ἕρκος ἐλήλαται. ἀμφὶ δέ μιν νὺξ
Τρισοιχεὶ κέχυται περὶ δειρὴν, αὐτὰρ ὕπερθεν
Γῆς ῥίζαι πεφύκασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ενθα θεοὶ τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
Κεκρύφαται βουλῆσι διὸς νεφεληγερέταο.
Χώρῳ ἐν εὐρόεντι πελώρης ἔσχατα γαίης.
Τοῖς, οὐκ ἐξιτόν ἐστι. πύλας δ' ἐπέθηκε ποσειδῶν
Χαλκείας τεῖχος περίκειται ἀμφοτέρωθεν.
Ενθα γύγης κόττος τε καὶ ὁ βριάρεως μεγάθυμος,
Ναίουσιν φύλακες πιστοὶ διὸς αἰγιόχοιο.
Ενθα δὲ γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος,
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος,
Εξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν.
Αργαλέ', εὐρώεντα. τά τε στυγέουσι θεοί περ,
Χάσμα μέγ' οὐδέκε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Ουδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
Αλλά κεν ἔνθα καὶ ἔνθα φέρει πρὸ θύελλα θυέλλη
Αργαλέη. δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι,
Τοῦτο τέρας. καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
Εστηκε νεφέλης κεκαλυμμένα κυανέησι.
Τῶν, πρόσθ' ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρὺν
Εστηὼς κεφαλῇ τε καὶ ἀκαμάτησι χέρεσσιν
Αστεμφέως. ὅθι νύξ τε καὶ ἡμέραι ἀμφὶς ἰοῦσαι.
Αλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
Χάλκεον. ἡ μὲν, ἔσω καταβήσεται, ἡ δὲ θύραζεν.

Ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν,
Καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη,
Εζεε δὲ χθὼν πᾶσα, καὶ ὠκεανοῖο ῥέεθρα,
Πόντος τ' ἀτρύγετος, τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους. φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
Ασπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
Αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος. εἴσατο δ' ἄντα
Οφθαλμοῖσιν ἰδεῖν, ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι,
Αὔτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πίλνατο τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει.
Τῆς μὲν ἐρειπομένης. τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
Τόσος δοῦπος ἔπλετο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν τ' ἐσφαράγιζον,
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
Κῆλα διὸς μεγάλοιο φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
Ες μέσον ἀμφοτέρων. ὄτοβος δ' ἄπλητος ὀρώρει
Σμερδαλέης ἔριδος. κάρτος δ' ἀνεφαίνετο ἔργων.
Εκλίνθη δὲ μάχη. πρὶν δ' ἀλλήλοις ἐπέχοντες
Εμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
Οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε βριαρεώς τε, γύγης τ' ἄατος πολέμοιο.
Οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
Πέμπον ἐπασσυτέρας κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας. καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
Πέμψαν. καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
Νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας.
Τόσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.
Ισον γάρ τ' ἀπὸ γῆς ἐς τάρταρον ἠερόεντα.

Ὣς φάτ', ἐπήνησαν δὲ θεοὶ δωτῆρες ἐάων
Μῦθον ἀκούσαντες. πολέμου δ' ἐλιλαίετο θυμὸς
Μᾶλλον ἔτ' ἢ τὸ πάροιθε. μάχην δ' ἀμέγαρτον ἔγει
Πάντες, θήλειαι τε καὶ ἄρσενες, ἤματι κείνῳ. (ραν
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο.
Οὕς τε Ζεὺς ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φάως δε.
Δεινοί τε, κρατεροί τε βίην ὑπέροπλον ἔχοντες.
Τῶν, ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
Πᾶσιν ὁμῶς. κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσιν.
Οἳ τότε Τιτήνεσι κατέσταθεν ἐν δαῒ λυγρῇ.
Πέτρας ἠλιβάτους στιβαρὰς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
Προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
Ἀμφότεροι δεινὸν δὲ περίαχε πόντος ἀπείρων.
Γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
Σειόμενος. πεδόθεν δ' ἐτινάσετο μακρὸς Ὄλυμπος
Ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα,
Τάρταρον ἠερόεντα. ποδῶν δ' αἰπεῖα τ' ἰωὴ
Ἀσπέτου ἰωχμοῖο, βολάων τε κρατεράων.
Ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
Φωνὴ δ' ἀμφοτέρων δ' ἵκετ' οὐρανὸν ἀστερόεντα,
Κεκλομένων οἱ δὲ ξυνίσαν μεγάλῳ ἀλαλητῷ.
Οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος. ἀλλά νυ τοῦ γε
Εἶθαρ μὲν μένος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
Φαῖνε βίην. ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
Ἀστράπτων ἔστειχε συνωχαδόν. οἱ δὲ κεραυνοὶ
Ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
Χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες

Οἵ ῥα τότ᾽ ἀλλήλοισι μάχην θυμαλγέ᾽ ἔχοντες
Συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
Οὐδέτις ἔριδος χαλεπῆς λύσις. οὐδὲ τελευτὴ
Οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
Ἀλλ᾽ ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα.
Νέκταρ τ᾽ ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι.
Πάντων ἐν στήθεσιν ἀέξετο θυμὸς ἀγήνωρ,
Ὡς νέκταρ τ᾽ ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν.
Δὴ τότε τοῖς, μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Κέκλυτέ μευ γαίης τε καὶ οὐρανοῦ ἀγλαὰ τέκνα,
Ὄφρ᾽ εἴπω, τά με θυμὸς ἐνὶ στήθεσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι.
Νίκης καὶ κράτεος πέρι μαρνάμεθ᾽ ἤματα πάντα.
Τιτῆνές τε θεοὶ καὶ ὅσοι κρόνου ἐκγενόμεσθα,
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
Φαίνετε Τιτήνεσιν ἐναντίοι ἐν δαῒ λυγρῇ.
Μνησάμενοι φιλότητος ἐνηέος, ὅσα παθόντες
Ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ὑπὸ δεσμοῦ,
Ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὡς φάτο· τὸν δ᾽ ἐξαῦτις ἀμείβετο κόττος ἀμύμων.
Δαιμόνι᾽ οὐκ ἀδάητα πιφαύσκεαι, ἀλλὰ καὶ αὐτοὶ
Ἴδμεν, ὅτι περὶ μὲν πραπίδες περὶ δ᾽ ἐστὶ νόημα.
Ἀλκτὴρ δ᾽ ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο,
Σῇσι δ᾽ ἐπιφροσύνῃσιν ἀπὸ ζόφου ἠερόεντος
Ἄψορρον δ᾽ ἐξαῦτις ἀμειλίκτων ὑπὸ δεσμῶν,
Ἠλύθομεν κρόνου υἱὲ ἄναξ ἀνάελπτα παθόντες.
Τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
Ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
Μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.

Ολβιος, ὃς μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσας,
Ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ηελίῳ δ' ἀκάμαντι τέκε κλυτὴ ὠκεανίνη
περσηΐς, κίρκην τε καὶ αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου ἠελίοιο,
Κούρην ὠκεανοῖο τελήεντος ποταμοῖο
Γῆμε θεῶν βουλῆσιν, ἰδυῖαν καλλιπάρηον,
Η δέ οἱ μήδειαν εὔσφυρον ἐν φιλότητι
Γείναθ' ὑποδμηθεῖσα διὰ χρυσῆν ἀφροδίτην.
Υμεῖς μὲν νῦν χαίρετ' ὀλύμπια δώματ' ἔχοντες,
Νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυροὶ ἔνδοθι πόντος.
Νῦν δὲ θεάων φῦλον ἀείσατε ἡδυέπειαι
Μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο.
Οσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι,
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν πλοῦτον ἐγείνατο δῖα θεάων
Ιασίῳ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι,
Νειῷ ἐνὶ τριπόλῳ κρήτης ἐν πίονι δήμῳ,
Εσθλὸν ὃς εἶσ' ἐπὶ γῆν καὶ εὐρέα νῶτα θαλάσσης,
πᾶσαν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε, πολὺν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' ἁρμονίη θυγάτηρ χρυσῆς ἀφροδίτης,
Ινὼ καὶ σεμέλην καὶ ἀγαυὴν καλλιπάρηον
αὐτονόην θ' ἣν γῆμεν ἀρισταῖος βαθυχαίτης,
γείνατο καὶ πολύδωρον ἐϋστεφάνῳ ἐνὶ θήβῃ.
Κούρη δ' ὠκεανοῖο χρυσάορι καρτεροθύμῳ
Μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου ἀφροδίτης
Καλλιρόη, τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων
γηρυονῆα, τὸν κτεῖνε βίη ἡρακληείη,



Δεινὴν, ἀγροκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
Πότνιαν· ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' ἥφαιστον κλυτὸν ἐν φιλότητι μιγεῖσα
Γείνατο· καὶ ζαμενήσε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
Ἐκ πάντων τέχνῃσι κεκασμένον οὐρανιώνων,
Ἐκ δ' ἀμφιτρίτης καὶ ἐρικτύπου ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας. ὅς τε θαλάσσης
Πυθμέν' ἔχων, παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
Ναίει χρύσεα δῶ, δεινὸς θεός. αὐτὰρ ἄρηι
Ῥινοτόρῳ κυθέρεια φόβον καὶ δεῖμον ἔτικτεν
Δεινοὺς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας·
Ἐν πολέμῳ κρυόεντι, σὺν ἄρηι πτολιπόρθῳ,
Ἁρμονίην θ' ἣν κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν,
Ζηνὶ δ' ἄρ' ἀτλαντὶς μαίη τέκε κύδιμον ἑρμῆν
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
καδμείη δ' ἄρα οἱ σεμέλη τέκε φαίδιμον υἱὸν,
Μιχθεῖσ' ἐν φιλότητι, διόνυσον πολυγηθέα
Ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοὶ εἰσίν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην ἡρακληείην,
Μιχθεῖσ' ἐν φιλότητι διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις,
Ὁπλοτάτην χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
Χρυσοκόμης δὲ διόνυσος ξανθὴν ἀριάδνην.
Κούρην μίνωος θαλερὴν ποιήσατ' ἄκοιτιν.
Τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε κρονίων.
Ἥβην δ' ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἲς ἡρακλῆος τελέσας στονόεντας ἀέθλους,
Παῖδα διὸς μεγάλοιο καὶ ἥρης χρυσοπεδίλου
Αἰδοίην θέτ' ἄκοιτιν ἐν ὀλύμπῳ νιφόεντι.

Ολβιος

Ἴσον ἔχουσαν πατρὶ μένος, καὶ ἐπίφρονα βουλήν·
ἀλλ' ἄρ' ἔπειτ' ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
Ἤμελλεν τέξεσθαι ὑπέρβιον ἦτορ ἔχοντα.
Ἀλλ' ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
Ὥς δή οἱ φράσαιτο θεὰ ἀγαθόν τε κακόν τε.
Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας.
Εὐνομίην τε, Δίκην τε, καὶ Εἰρήνην τε θαλυῖαν.
Αἵ τ' ἔργ' ὡραίουσι κἀ θνητοῖσι βροτοῖσι,
Μοίρας θ' ᾗς πλείστην τιμὴν πόρε μητίετα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον αἵ τε διδοῦσι
Θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.
Τρεῖς δέ οἱ Εὐρυνόμη, χάριτας τέκε καλλιπαρήους,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν.
Τῶν, καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων·
Λυσιμελής, καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθεν.
Ἡ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
Ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητίετα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο.
Ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο,
Ἐννέα τῇσιν ἅδον θαλίαι, καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
Ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων,
Γείνατ' ἄρ', αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν
Ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε,
Μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆι καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς, γλαυκώπιδα τριτογένειαν,

Ως ἄρα τήκετο γαῖα σέλα πυρὸς αἰθομένοιο.
Ρίψε δέ μιν θυμῷ ἀκαχὼν ἐς τάρταρον εὐρύν.
Εκ δὲ τυφώεος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
Νόσφι νότου βορέω τε καὶ ἀργέστεω, ζεφύροιο.
Οἵ γε μιν, ἐκ θεόφιν γενεῇ, θνητοῖς μέγ' ὄνειαρ·
Αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουσι θάλασσαν.
Αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι κακῇ θυίουσι ἀέλλῃ.
Αλλοτε δ' ἄλλαι ἄησι διασκιδνᾶσί τε νῆας.
Ναύτας τε φθείρουσι. κακοῦ δ' οὐ γίνεται ἀλκή.
Ανδράσιν, οἳ κείνοισι συναντῶντες κατὰ πόντον.
Αἱ δ' αὖ τε κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεσσαν,
Εργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
αὐτὰρ ἐπεὶ ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
Δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδ' ἀνάσσειν
Γαίης φραδμοσύνῃσιν ὀλύμπιον εὐρύοπα ζῆν'
Αθανάτων. ὁ δὲ, τοῖσιν εὖ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο μῆτιν,
πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων,
Αλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν ἀθήνην
τέξεσθαι, τότ' ἔπειτα δολοφροσύνας ἐξαπατήσας,
Αἱμυλίοισι λόγοισιν ἑὴν ἐς κάτθετο νηδὺν,
Γαίης φραδμοσύνῃσι καὶ οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
Αλλος ἔχῃ διὸς ἀντὶ θεῶν αἰειγενετάων.
Εκ γὰρ τῆς, εἵμαρτο περίφρονα τέκνα γενέσθαι.
πρώτην μὲν γὰρ κούρην γλαυκώπιδα τριτογένειαν,

Εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον· ἀμφὶ δὲ γαῖα
Σμερδαλέον κονάβησε, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πόντος τ' ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης,
ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' ὄλυμπος
Ορνυμένοιο ἄνακτος. ἐπεστονάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
Βροντῆς τε στεροπῆς τε πυρὸς ἀπὸ τοῖο πελώρου,
Πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
Εζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα.
Θυῖε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφὶ κύματα μακρὰ
Ριπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει.
τρέσε δ' ἄδης ἐνέροισι καταφθιμένοισιν ἀνάσσων.
τιτῆνές θ' ὑποταρτάριοι κρόνου ἀμφὶς ἐόντες,
Ασβέστου κελάδοιο καὶ αἰνῆς δηιοτῆτος.
Ζεὺς δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνὸν,
πλῆξεν ἀπ' οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
Επρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
Ηριπε γυιωθεὶς, στενάχιζε δὲ γαῖα πελώρη.
Φλὸξ δὲ, κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος,
Οὔρεος ἐν βήσσῃσιν ἀΐδνῆς παιπαλοέσσης,
Πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα.
Αὐτμῇ θεσπεσίῃ, καὶ ἐτήκετο κασσίτερος ὣς
Τέχνῃ ὑπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο.
Θαλφθεὶς, ἠδὲ σίδηρος ὅπερ κρατερώτατός ἐστιν,
Οὔρηος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ, ὑφ' ἡφαίστου παλάμῃσιν.

Ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν,
Ἀργαλέ' εὐρώεντα. τά τε στυγέουσι θεοί περ.
Ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ λαΐνος οὐδὸς
Ἀστεμφὴς ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
Αὐτοφυής, πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων,
τιτῆνες ναίουσι πέρην χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο διὸς κλειτοὶ ἐπίκουροι,
Δώματα ναιετάουσιν ἐπ' ὠκεανοῖο θεμέθλοις
Κόττος τ' ἠδὲ γύγης βειαρέων γε μὲν ἠὺν ἐόντα
Γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος ἐννοσίγαιος·
Δῶκε δὲ κυμοπόλειαν ὀπυίειν θυγατέρα ἥν.

Αὐτὰρ ἐπεὶ τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε ζεύς,
Ὁπλότατον τέκε παῖδα τυφωέα γαῖα πελώρη
ταρτάρου ἐν φιλότητι διὰ χρυσῆν ἀφροδίτην,
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων,
Ἦν ἑκατὸν κεφαλαὶ ὄφιος δεινοῖο δράκοντος
Γλώσσῃσι δνοφερῇσι λελειχμότες. ἐκ δέ οἱ ὄσσων
Θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε,
Πασέων δ' ἐκ κεφαλέων, πῦρ καίετο δερκομένοιο.
Φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
Παντοίην ὄπ' ἰεῖσαι ἀθέσφατον. ἄλλοτε μὲν γὰρ,
Φθέγγονθ' ὥστε θεοῖσι συνιέμεν ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω μένος ἄσχετον ὄσσαν ἀγαύρου.
Ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος.
Ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα θαύματ' ἀκοῦσαι
Ἄλλοτε δ' αὖ ῥοίζασχ' ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καὶ νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ.
καί κεν ὅ γε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξεν,

Παῦρα δὲ θαύμαντος θυγάτηρ πόδας ὠκέα ἶρις
Ἀγγελίης πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται·
Καί ῥ' ὅς τις ψεύδηται ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
Τηλόθεν ἐν χρυσέῃ προχόῳ πολυώνυμον ὕδωρ
Ψυχρόν·ὅ,τ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
Ὑψηλῆς, πολλὸν δ' ὑπὸ χθονὸς εὐρυοδείης
Ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας, δεκάτη δ' ἐπὶ μοῖρα δέδασται.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Δίνης ἀργυρέης εἱλιγμένος εἰς ἅλα πίπτει.
Ἡ δὲ μί' ἐκ πέτρης προφέρει μέγα πῆμα θεοῖσιν.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου.
Κεῖται νηπότμος τετελεσμένον εἰς ἐνιαυτόν.
Οὐδέποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
Βρώσιος· ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος,
Στρωτοῖς ἐν λεχέεσσι κακὸν δ' ἐπὶ κῶμα καλύπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
Ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτατος ἆθλος,
Εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων.
Οὐδέποτ' ἐς βουλὴν ἐπιμίσγεται· οὐδ' ἐπὶ δαῖτας
Ἐννέα πάντ' ἔτεα, δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
Εἰρέας ἀθανάτων, οἳ ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ στυγὸς ἄφθιτον ὕδωρ
Ὠγύγιον, τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου,
Ἔνθα δὲ γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος,
Πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος

Ερχεται ὐδέποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει.
Αλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
Γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
Μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔς τ' ἂν ἵκηται.
Η μὲν, ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα.
Ηδ', ὕπνον μετὰ χερσὶ κασίγνητον θανάτοιο
Νὺξ ὀλοὴ νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
Ενθα δὲ νυκτὸς παῖδες ἐρεμνῆς οἰκί' ἔχουσιν
Υπνος καὶ θάνατος δεινοὶ θεοί. ὐδέποτ' αὐτοὺς
Ηέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.
Οὐρανὸν εἰσανιὼν, ὐδ' ὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
Ησυχος ἀναστρέφεται καὶ μείλιχος ἀνθρώποισι.
Τοῦ δὲ, σιδηρέη μὲν κραδίη χάλκεον δέ οἱ ἦτορ
Νηλεὲς ἐν στήθεσιν, ἔχει δ' ὃν πρῶτα λάβῃσιν
Ανθρώπων ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσιν.
Ενθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες.
Ιφθίμου τ' ἀΐδεω καὶ ἐπαινῆς περσεφονείης
Εστᾶσι. δεινὸς δὲ κύων προπάροιθε φυλάσσει
Νηλειής. τέχνην δὲ κακὴν ἔχει. ἐς μὲν ἰόντας
Σαίνει ὁμῶς ὐρῇ τε καὶ ὔασιν ἀμφοτέροισιν.
Εξελθεῖν δ' ὐκ αὖτις ἐᾷ πάλιν. ἀλλὰ δοκεύων.
Εσθίει, ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα
Ιφθίμου τ' ἀΐδεω καὶ ἐπαινῆς περσεφονείης.
Ενθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι
Δεινὴ στὺξ θυγάτηρ ἀψορρόου ὠκεανοῖο
Πρεσβυτάτη. νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει,
Μακρῇσι πέτρῃσι κατηρεφέ' ἀμφὶ δὲ πάντη
Κίοσιν ἀργυρέοισι πρὸς ὐρανὸν ἐστήρικται.

Εννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Οὐρανόθεν κατιών. δεκάτῃ ἐς γαῖαν ἵκοιτο.
Εννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
Εκ γαίης κατιὼν δεκάτῃ δ' ἐς τάρταρον ἵκοιτο.
Τὸν, περὶ χάλκεον ἕρκος ἐλήλαται. ἀμφὶ δέ μιν νὺξ
Τρισοιχεὶ κέχυται περὶ δειρὴν, αὐτὰρ ὕπερθεν
Γῆς ῥίζαι πεφύκασι καὶ ἀτρυγέτοιο θαλάσσης.
Ενθα θεοὶ τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
Κεκρύφαται βουλῇσι διὸς νεφεληγερέταο.
χώρῳ ἐν εὐρώεντι πελώρης ἔσχατα γαίης.
Τοῖς, οὐκ ἐξιτόν ἐστι. πύλας δ' ἐπέθηκε ποσειδῶν
Χαλκείας τεῖχος περίκειται ἀμφοτέρωθεν.
Ενθα γύγης κόττος τε καὶ ὁ βριάρεως μεγάθυμος,
Ναίουσιν φύλακες πιστοὶ διὸς αἰγιόχοιο.
Ενθάδε γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος,
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος,
Εξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασιν.
Αργαλέ', εὐρώεντα. τά τε στυγέουσι θεοί περ,
Χάσμα μέγ' οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
Οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο.
Αλλά κεν ἔνθα καὶ ἔνθα φέρει πρὸ θύελλα θυέλλῃ
Αργαλέη. δεινόν τε καὶ ἀθανάτοισι θεοῖσι,
Τοῦτο τέρας. καὶ νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ
Εστηκε νεφέλῃς κεκαλυμμένα κυανέῃσι.
Τῶν, πρόσθ' ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρὺν
Εστηὼς κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν
Αστεμφέως. ὅθι νύξ τε καὶ ἡμέραι ἀμφὶς ἰοῦσαι.
Αλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδὸν,
Χάλκεον. ἡ μὲν ἔσω καταβήσεται, ἡ δὲ θύραζεν.

Ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν,
Καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη,
Εζεε δὲ χθὼν πᾶσα, καὶ ὠκεανοῖο ῥέεθρα,
Πόντος τ' ἀτρύγετος, τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους. φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
Ασπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
Αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν χάος. εἴσατο δ' ἄντα
Οφθαλμοῖσιν ἰδεῖν, ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι,
Αὔτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει.
Τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος.
Τόσσος δοῦπος ἔπλετο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν τ' ἐσφαράγιζον,
Βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
Κῆλα Διὸς μεγάλοιο· φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
Ες μέσον ἀμφοτέρων. ὄτοβος δ' ἄπλητος ὀρώρει
Σμερδαλέης ἔριδος· κάρτος δ' ἀνεφαίνετο ἔργων.
Εκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
Εμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
Οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεώς τε, Γύγης τ' ἄατος πολέμοιο.
Οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
Πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας· καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
Πέμψαν, καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
Νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας.
Τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.
Ισον γάρ τ' ἀπὸ γῆς ἐς τάρταρον ἠερόεντα.

Ὣς φάτ', ἐπῄνησαν δὲ θεοὶ δωτῆρες ἐάων
Μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς
Μᾶλλον ἔτ' ἢ τὸ πάροιθε· μάχην δ' ἀμέγαρτον ἔγει
Πάντες, θήλειαι τε καὶ ἄρσενες, ἤματι κείνῳ. (ραν
Τιτῆνές τε θεοὶ καὶ ὅσοι κρόνου ἐξεγένοντο.
Οὕς τε ζεὺς ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φάως δε.
Δεινοί τε, κρατεροί τε βίην ὑπέροπλον ἔχοντες.
Τῶν, ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
Πᾶσιν ὁμῶς· κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκεν ἐπὶ στιβαροῖσι μέλεσσιν.
Οἳ τότε τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ.
Πέτρας ἠλιβάτους στιβαρὰς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας
Προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
Ἀμφότεροι δεινὸν δὲ περίαχε πόντος ἀπείρων.
Γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
Σειόμενος. πεδόθεν δ' ἐτινάσσετο μακρὸς ὄλυμπος
Ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα,
Τάρταρον ἠερόεντα. ποδῶν δ' αἰπεῖα τ' ἰωὴ
Ἀσπέτου ἰωχμοῖο, βολάων τε κρατεράων.
Ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
Φωνὴ δ' ἀμφοτέρων δ' ἵκετ' οὐρανὸν ἀστερόεντα,
Κεκλομένων· οἳ δὲ ξυνίσαν μεγάλῳ ἀλαλητῷ.
Οὐδ' ἄρ' ἔτι ζεὺς ἶσχεν ἑὸν μένος. ἀλλά νυ τοῦ γε
Εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
Φαῖνε βίην. ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπολύμπου
Ἀστράπτων ἔστειχε συνωχαδὸν· οἱ δὲ κεραυνοὶ
Ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
Χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες

Οἵ ῥα τότ' ἀλλήλοισι μάχην θυμαλγέ' ἔχοντες
Συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς·
Οὐδέτις ἔριδος χαλεπῆς λύσις. οὐδὲ τελευτὴ
Οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο·
Ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα·
Νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι·
Πάντων ἐν στήθεσιν ἀέξετο θυμὸς ἀγήνωρ,
Ὡς νέκταρ τ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν·
Δὴ τότε τοῖς, μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Κέκλυτέ μευ γαίης τε καὶ οὐρανοῦ ἀγλαὰ τέκνα,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι.
Νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα.
Τιτῆνές τε θεοὶ καὶ ὅσοι κρόνου ἐκγενόμεσθα,
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
Φαίνετε Τιτήνεσιν ἐναντίοι ἐν δαῒ λυγρῇ.
Μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
Ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ὑπὸ δεσμοῦ,
Ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο κόττος ἀμύμων.
Δαιμόνι' οὐκ ἀδάητα πιφάσκεαι, ἀλλὰ καὶ αὐτοὶ
Ἴδμεν, ὅτι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα.
Ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο,
Σῇσι δ' ἐπιφροσύνῃσιν ἀπὸ ζόφου ἠερόεντος
Ἄψορρον δ' ἐξαῦτις ἀμειλίκτων ὑπὸ δεσμῶν,
Ἠλύθομεν κρόνου υἱὲ ἄναξ ἀνάελπτα παθόντες.
Τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
Ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
Μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.

Ζώει. ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
Χηρωσταί. ᾧ δ' αὖτε γάμου μὲν μοῖρα γένηται,
Κεδνὴν δ' ἔσχε ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι,
τῷ δ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει,
Ἔμμεναι, ὃν δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
Ζώει ἐνὶ στήθεσιν ἔχων ἀλίαστον ἀνίην
Θυμῷ καὶ κραδίῃ καὶ ἀνίκεστον κακόν ἐστιν.
Ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
Οὐδὲ γὰρ ἰαπετιονίδης ἀκάκητα προμηθεὺς
Τοῖό γ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκη
καὶ πολύϊδριν ἐόντα μέγας κατὰ δεσμὸς ἐρύκει.
Βριαρέῳ δ' ὡς τὰ πρῶτα πατὴρ ὠδύσατο θυμῷ
Κόττῳ τ', ἠδὲ γύγῃ δῆσε κρατερῷ ἐνὶ δεσμῷ
Ἠνορέην ὑπέροπλον ἀγώμενος, ἠδὲ καὶ εἶδος,
καὶ μέγεθος, κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης.
Ἔνθ' οἵ γ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες,
Εἵατ' ἐπ' ἐσχατιῇ μεγάλης ἐν πείρασι γαίης,
Δηθὰ μάλ' ἀχνύμενοι κραδίῃ μέγα πένθος ἔχοντες.
Ἀλλὰ σφέας κρονίδης τε ἰδ' ἀθάνατοι θεοὶ ἄλλοι,
Οὓς τέκεν ἠΰκομος ῥέη κρόνου ἐν φιλότητι
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις.
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε
Σὺν κείνοισι, νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
Δηρὸν γὰρ μάρναντο πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ, καὶ ὅσοι κρόνου ἐξεγένοντο.
Ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας.
Οἱ μὲν ἀφ' ὑψηλῆς ὄρθυος τιτῆνες ἀγαυοί.
Οἳ δ' ἄρ' ἀπ' οὐλύμποιο θεοὶ δωτῆρες ἐάων,
Οὓς τέκεν ἠΰκομος ῥέη κρόνῳ εὐνηθεῖσα.

Ιμερτοὺς παρέθηκε καρήατι παλλὰς ἀθήνη,
Αμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς ἀμφιγυήεις
Ασκήσας παλάμῃσι χαριζόμενος διὶ πατρί.
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι
Κνώδαλα, ὅσ' ἤπειρος φέρει ἠδὲ θάλασσα.
Τῶν, ὅγε πόλλ' ἐνέθηκε· χάρις δ' ἀπελάμπετο πολλή
Θαυμασίη ζώοισιν ἐοικότα φωνήεσσιν.
Αὐτὰρ ἐπεὶ δὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,
Εξάγαγ' ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι
Κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
Θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους
Ως εἶδον δόλον αἰπὺν ἀμήχανον ἀνθρώποισιν.
Εκ τῆς, γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων.
Τῆς γὰρ, ὀλώιον ἐστὶ γένος καὶ φῦλα γυναικῶν,
Πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσιν,
Οὐλομένης πενίης οὐ σύμφορα ἀλλ' ἀκόροιο.
Ως δ' ὁπότ' ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
Κηφῆνας βόσκουσι κακῶν ξυνήονας ἔργων,
Αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ημάτιαι σπεύδουσι τιθεῖσί τε κηρία λευκά.
Οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
Αλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται,
Ως δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε ξυνήονας ἔργων
Αργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο.
Ος κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
Μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται,
Χήτει γηροκόμοιο ὅ δ' οὐ βιότου ἐπιδευὴς

Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων
Τῶν δ' ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει.
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδώς.
Γνῶ ῥ' οὐδ' ἠγνοίησε δόλον, κακὰ δ' ὄσσετο θυμῷ
Θνητοῖς ἀνθρώποισι τά, καὶ τελέεσθαι ἔμελλεν.
Χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφαρ.
Χώσατο δὲ φρένας, ἀμφὶ χόλος δέ μιν ἵκετο θυμῷ,
Ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
Ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
Τὸν δὲ, μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς.
Ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς.
Ὦ πέπον, οὐκ ἄρα πω, δολίης ἐπελήθεο τέχνης.
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Ἐκ τούτου δ' ἤπειτα δόλου μεμνημένος αἰεὶ,
Οὐκ ἐδίδου μελίῃσι πυρὸς μένος ἀκαμάτοιο
Θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσιν.
Ἀλλά μιν ἐξαπάτησεν ἐῢς πάϊς Ἰαπετοῖο
Κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν,
Ἐν κοΐλῳ νάρθηκι· δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ.
Ὡς ἴδεν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς, τεῦξε κακὸν ἀνθρώποισι.
Γαίης γὰρ σύμπλασσε περικλυτὸς ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
Ἀργυφέῃ ἐσθῆτι· κατακρῆθεν δὲ καλύπτρην
Δαιδαλέην χείρεσσι κατέσχεθε θαῦμα ἰδέσθαι,
Ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης

Ἐσκώς, κεφαλῆ τε καὶ ἀκαμάτοισι χέρεσσι.
Ταύτην γὰρ οἱ μοῖραν ἐδάσσατο μητίετα ζεύς.
Δῆσε δ' ἀλυκτοπέδῃσι προμηθέα ποικιλόβουλον,
Δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
Καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον, αὐτὰρ ὅ γ' ἧπαρ
Ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ,
Νυκτὸς ὅσον πρόπαν ἦμαρ ἔδει τανυσίπτερος ὄρνις,
Τὸν μὲν ἄρ' ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε. κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυσφροσυνάων.
Οὐκ ἀέκητι ζηνὸς ὀλυμπίου ὑψιμέδοντος,
Ὄφρ' ἡρακλῆος θηβαγενέος κλέος εἴη
Πλεῖον ἔτ', ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν,
Ταῦτ' ἄρ' ἀζόμενος τίμα ἀριδείκετον υἱόν.
Καίπερ χωόμενος, παύθη χόλου, ὃν πρὶν ἔχεσκεν.
Οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέι κρονίωνι.
καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τε ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
Δασσάμενος προὔθηκε, ζηνὸς νόον ἐξαπατίσκων.
τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πιονὶ δημῷ.
Ἐν ῥινῷ κατέθηκε καλύψας γαστρὶ βοείῃ.
τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
Εὐθετίσας, κατέθηκε καλύψας ἀργέτι δημῷ.
Δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἰαπετιονίδη πάντων ἀριδείκετ' ἀνάκτων,
Ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας.
Ὣς φάτο κερτομέων ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὸν δ' αὖτε προσέειπε προμηθεὺς ἀγκυλομήτης
Ἦκ' ἐπιμειδήσας, δολίης δ' οὐ λήθετο τέχνης.

Λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
Τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
Ηὔξετο τοῖο ἄνακτος ἐπιπλομένου δ' ἐνιαυτοῦ,
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς,
Ον γόνον ἂψ ἀνέηκε μέγας κρόνος ἀγκυλομήτης,
νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.
Γρῶτον δ' ἐξήμησε λίθον πύματον καταπίνων.
Τὸν μὲν ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Ρυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὑπὸ παρνησοῖο,
Σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ὑπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν.
Οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων.
Δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν,
Καὶ στεροπήν. τὸ πρὶν δὲ πελώρη γαῖα κεκεύθει.
Τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
Κούρην δ' ἰαπετὸς καλλίσφυρον ὠκεανίνην,
Ηγάγετο κλυμένην, καὶ ὁ μὲν λέχος εἰσανέβαινεν.
Η δέ οἱ ἄτλαντα κρατερόφρονα γείνατο παῖδα,
Τίκτε δ' ὑπερκύδαντα μενοίτιον, ἠδὲ προμηθέα
Ποικίλον, αἰολομῆτιν, ἁμαρτίνοόν τ' ἐπιμηθέα.
Ος κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφηστῇσι.
Πρῶτος γὰρ ῥα διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
Παρθένον ὑβριστὴν δὲ μενοίτιον εὐρύοπα ζεὺς
Εἰς ἔρεβος κατέπεμψε, βαλὼν ψολόεντι κεραυνῷ.
Εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ατλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
Γείρασιν ἐν γαίης πρόπαρ ἑσπερίδων λιγυφώνων



Τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν οὐρανιώνων
Ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληίδα τιμήν.
πεύθετο γὰρ γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
καὶ κρατερῷ περ ἐόντι, διὸς μεγάλου διὰ βουλάς.
τῷ, ὅ γ' οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε, ῥέην δ' ἔχε πένθος ἄλαστον.
Ἀλλ' ὅτε δὴ δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
Τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα,
Μῆτιν συμφράσσασθαι ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον· τίσαιτο δ' ἐριννὺς πατρὸς ἑοῖο,
παίδων, οὓς κατέπινε μέγας κρόνος ἀγκυλομήτης.
Οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
Καί οἱ πεφραδέτην, ὅσα περ πέπρωτο γενέσθαι
ἀμφὶ κρόνῳ βασιλῆι καὶ υἱέι καρτεροθύμῳ.
πέμψαν δ' ἐς λύκτον κρήτης ἐς πίονα δῆμον,
Ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι
Ζῆνα μέγαν, τὸν μέν οἱ ἐδέξατο γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε.
Ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρῶτον ἐς αὐτὴν λύκτον· κρύψε δέ ἑ χερσὶ λαβοῦσα
Ἄντρῳ ἐν ἠλιβάτῳ ζαθέης ὑπὸ κεύθεσι γαίης,
αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι θεῶν προτέρων βασιλῆι.
Τὸν, τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐσκάτθετο νηδύν
Σχέτλιος, οὐδ' ἐνόησε μετὰ φρεσὶν, ὥς οἱ ὀπίσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς

λείπεθ', ὅ μιν

Ανέρσιν, ἔνθα θεὰ παραγίνεται οἷς κ' ἐθέλησι,
Νίκην προφρονέως ὀπάσαι, καὶ κῦδος ὀρέξαι.
Εντε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει.
Εσθλὴ δ' αὖθ' ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσιν,
Ενθα θεὰ καὶ τοῖσι παραγίνεται ἠδ' ὀνίνησι.
Νικήσας δὲ βίῃ καὶ κάρτει καλὸν ἄεθλον,
Ρεῖα φέρει, χαίρων τε τοκεῦσι κῦδος ὀπάζει.
Εσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλησι.
καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται.
Εὔχονται δ' ἑκάτῃ καὶ ἐρικτύπῳ ἐννοσιγαίῳ,
Ρηΐδίως δ' ἄγρην κυδρὴ θεὸς ὤπασε πολλήν.
Ρεῖα δ' ἀφείλετο φαινομένην ἐθέλουσά γε θυμῷ.
Εσθλὴ δ' ἐν σταθμοῖσι σὺν ἑρμῇ ληΐδ' ἀέξειν.
Βουκολίας τ' ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν
Ποίμνας τ' εἰροπόκων γ' ὀΐων θυμῷ γ' ἐθέλουσα.
Εξ ὀλίγων βριάει καὶ ἐκ πολλῶν μείονα θῆκεν.
Οὕτω τοι καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα
Πᾶσι μετ' ἀθανάτοισι τετίμηται γεράεσσι.
Θῆκε δέ μιν κρονίδης κουροτρόφον, οἳ μετ' ἐκείνην
Οφθαλμοῖσιν ἴδοντο φάος πολυδερκέος ἠοῦς
Οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἳ δέ τε τιμαί.
Ρείη δ' αὖ δμηθεῖσα κρόνῳ, τέκε φαίδιμα τέκνα,
Ιστίην δήμητρα καὶ ἥρην χρυσοπέδιλον.
Ιφθιμόν τ' ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει,
Νηλεὲς ἦτορ ἔχων· καὶ ἐρίκτυπον ἐννοσίγαιον,
Ζῆνα τε μητιόεντα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν.
τοῦ, καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών,
καὶ τοὺς μὲν κατέπινε κρόνος μέγας ὅστις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο.

Εξετέλεσ᾽, αὐτὸς δὲ μέγα κρατεῖ ἠδ᾽ ἀνάσσει.
Φοίβη δ᾽ αὖ κοίου πολυήρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δ᾽ ἤπειτα θεὰ θεοῦ ἐν φιλότητι,
Λητὼ κυανόπεπλον ἐγείνατο μείλιχον αἰεί·
Ηπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
Μείλιχον ἐξ ἀρχῆς ἀγανώτατον ἐντὸς ὀλύμπου.
Γείνατο δ᾽ ἀστερίην εὐώνυμον ἥν ποτε πέρσης,
Ηγάγετ᾽ ἐς μέγα δῶμα φίλην κεκλῆσθαι ἄκοιτιν.
Ηδ᾽ ὑποκυσαμένη, ἑκάτην τέκε. τὴν περὶ πάντων
Ζεὺς κρονίδης τίμησε πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
Μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.
Ηδὲ καὶ ἀστερόεντος ὑπ᾽ οὐρανοῦ ἔμμορε τιμῆς,
Αθανάτοις τε θεοῖσι τετιμένη ἐστὶ μάλιστα.
καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων,
Ερδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται
κικλήσκει ἑκάτην, πολλή τέ οἱ ἕσπετο τιμὴ
Ρεῖα μάλ᾽ ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς.
καὶ οἱ ὄλβον ὀπάζοι. ἐπεὶ δύναμίς γε πάρεστιν.
Οσσοι γὰρ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο,
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων.
Οὐδέ τι μὶν κρονίδης ἐβιήσατο οὐδέ τ᾽ ἀπηύρα
Οσσ᾽ ἔλαχεν τιτῆσι μετὰ προτέροισι θεοῖσιν,
Αλλ᾽ ἔχει ὡς τὸ πρῶτον ἀπ᾽ ἀρχῆς ἔπλετο δασμός.
Οὐδ᾽ ὅτι μουνογενὴς ἧσσον θεὰ ἔμμορε τιμῆς
καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ· ἠδὲ θαλάσσῃ·
Αλλ᾽ ἔτι καὶ πολὺ μᾶλλον ἐπεὶ ζεὺς τίεται αὐτήν.
Ωι δ᾽ ἐθέλει μεγάλως παραγίνεται· ἠδ᾽ ὀνίνησιν,
Ενθ᾽ ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ᾽ ἐθέλῃσιν,
Ηδ᾽ ὁπότ᾽ ἐς πόλεμον φθισήνορα θωρήσσονται,

Γείναθ' ὑποδμηθεῖσα ὑπερίονος ἐν φιλότητι.
Κρίῳ τ' εὐρυβίη τίκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν πάλλαντά τε δῖα θεάων,
πέρσην θ' ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσιν.
Ἀστραίῳ δ' ἠὼς ἀνέμους τίκε καρτεροθύμους
Ἀργέστην, ζέφυρον βορέην τ' αἰψηροκέλευθον,
Καὶ νότον ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
Τοὺς δὲ μετ' ἀστέρα τίκτεν ἑωσφόρον ἠριγένεια
Ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.
Στὺξ δ' ἔτεκεν ὠκεανοῦ θυγάτηρ πάλλαντι μιγεῖσα
Ζῆλον καὶ νίκην πολύσφυρον ἐν μεγάροισι,
καὶ κράτος ἠδὲ βίην ἀριδείκετα γείνατο τέκνα.
Τῶν οὐκ ἔστ' ἀπάνευθεν διὸς δόμος, οὐδέ τις ἕδρη,
Οὐδ' ὁδὸς ὅποι μὴ κείνοις θεὸς ἡγεμονεύει,
Ἀλλ' αἰεὶ πὰρ ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
Ὣς γὰρ ἐβούλευσε στὺξ ἄφθιτος ὠκεανίνη,
Ἤματι τῷ, ὅτε πάντας ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσε θεοὺς ἐς μακρὸν ὄλυμπον.
Εἶπε δ' ὃς ἂν μετὰ εἷο θεῶν τιτῆσι μάχοιτο,
Μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν, ἣν τοπάρος γε μετ' ἀθανάτοισι θεοῖσι.
Τὸν δ' ἔφατ' ὅστις ἄτιμος ὑπὸ κρόνου ἠδ' ἀγέραστος
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἣ θέμις ἐστί.
Ἦλθε δ' ἄρα πρώτη στὺξ ἄφθιτος οὔλυμπόνδε,
Σὺν σφίσι παίδεσσι φίλου διὰ μήδεα πατρός.
τὴν δὲ ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκεν.
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον.
παῖδας δ' ἤματα πάντα, ἑοὺς μεταναιέτας εἶναι.
Ὣς δ' αὔτως πάντεσσι διαμπερὲς, ὥσπερ ὑπέστη,

Εὔηνόν τε καὶ ἄρδησκον θεῖόν τε σκάμανδρον
Τίκτε θυγατρῶν ἱερὸν γένος, αἳ κατὰ γαῖαν
Ἄνδρας κουρίζουσι σὺν ἀπόλλωνι ἄνακτι,
καὶ ποταμοῖς· ταύτην δὲ διὸς πάρα μοῖραν ἔχουσι
Πειθώ τ' ἀδμήτη τε ἰάνθη τ' ἠλέκτρη τε,
Δωρίς τε πρυμνώ τε καὶ οὐρανίη θεοειδής,
Ἱππώ τε κλυμένη τε ῥοδία τε καλλιρόη τε,
Ζευξώ τε κλυτίη τε ἰδυῖά τε πασιθόη τε,
Πληξαύρη τε, γαλαξαύρη τ' ἐρατή τε διώνη,
Μηλόβοσίς τε θόη τε καὶ εὐειδὴς πολυδώρη,
Κερκηΐς τε φυὴν ἐρατὴ πλουτώ τε βοῶπις,
περσηΐς τ' ἰάνειρά τ' ἀκάστη τε, ξανθή τε,
πετραίη τ' ἐρόεσσα, μενεσθώ τ' εὐρώπη τε,
Μῆτίς τ' εὐρυνόμη τε τελεστώ τε κροκόπεπλος,
Κρυσηΐς τ' ἀσίη τε καὶ ἱμερόεσσα καλυψώ,
Εὐδώρη τε τύχη τε καὶ ἀμφιρὼ ὠκυρόη τε,
καὶ στύξ, ἣ δὴ σφέων προφερεστάτη ἐστὶν ἁπασέων.
Αὗται δ' ὠκεανοῦ καὶ τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι, πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
τρὶς γὰρ χίλιαί εἰσι τανύσφυροι ὠκεανῖναι
αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντη ὁμῶς ἐφέπουσι θεάων ἀγλαὰ τέκνα.
Τόσσοι δ' αὖθ' ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες
Υἱέες ὠκεανοῦ τοὺς γείνατο πότνια τηθύς·
Τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνισπεῖν.
Οἱ δὲ ἕκαστοι ἴσασιν ὅσοι περιναιετάουσι,
Θεία δ' ἥλιόν τε μέγαν λαμπράν τε σελήνην,
Ἠῶ θ' ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
Ἀθανάτοις τε θεοῖς τοὶ οὐρανὸν εὐρὺν ἔχουσι.

Καὶ τὴν μὲν διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Αμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ ἰολάῳ
Ηρακλέης βουλῇσιν ἀθηναίης ἀγελείης.
Ηδὲ χίμαιραν ἔτικτε πνέουσαν ἀμαιμάκετον πῦρ,
Δεινήν τε μεγάλην τε ποδώκεά τε κρατερήν τε
Τῆς δ' ἦν τρεῖς κεφαλαί, μία μὲν χαροποῖο λέοντος,
Ηδὲ χιμαίρης, ἡ δ' ὄφιος κρατεροῖο δράκοντος,
Πρόσθε λέων, ὄπιθε δράκων, μέση δὲ χίμαιρα
Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
Τὴν μὲν πήγασος εἷλε καὶ ἐσθλὸς βελλεροφόντης.
Η δ' ἄρα σφίγγ' ὀλοὴν τέκε καδμείοισιν ὄλεθρον
Ορθῳ ὑποδμηθεῖσα νεμειαῖον τε λέοντα
Τόν ῥ' ἥρη θρέψασα διὸς κυδρὴ παράκοιτις
Γουνοῖσι κατένασσε νεμέης πῆμ' ἀνθρώποις.
Ενθ' ἄρ' ὅγ' οἰκείων ἐλεφέρετο φῦλ' ἀνθρώπων
Κοιρανέων τρητοῖο νεμέης ἠδ' ἀπέσαντος,
Αλλά ἑ ἶς ἐδάμασσε βίης ἡρακληείης.
Κητὼ δ' ὁπλότατον φόρκυι φιλότητι μιγεῖσα
Γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνῆς κεύθεσι γαίης
Πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.
Τοῦτο μὲν ἐκ κητοῦς τε καὶ φόρκυος γένος ἐστί,
Τηθὺς δ' ὠκεανῷ ποταμοὺς τέκε δινήεντας
Νεῖλόν τ' ἀλφειόν τε καὶ ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, μαίανδρόν τε καὶ ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε ῥῆσόν τ' ἀχελώϊον ἀργυροδίνην.
Νέσσον τε ῥόδιον θ' ἁλιάκμονα θ' ἑπτάπορόν τε,
Γρήνικόν τε καὶ αἴσηπον θεῖόν τε σιμοῦντα,
Πηνειόν τε καὶ ἕρμον, ἐϋρρείτην τε κάϊκον
Σαγγάριόν τε μέγαν λάδωνά τε παρθένιόν τε

Βροντήν τε στεροπήν τε φέρων διὶ μητιόεντι.
Χρυσάωρ δ' ἔτεκεν τρικέφαλον γηρυονῆα.
Τὸν μὲν ἄρ' ἐξενάριξε βίη ἡρακληείη,
Βουσὶν ἐπ' εἰλιπόδεσσι περιρρύτῳ ἐν ἐρυθείη,
Ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους,
Τίρυνθ' εἰς ἱερὴν διαβὰς πόρον ὠκεανοῖο
Ὄρθον τε κτείνας καὶ βουκόλον εὐρυτίωνα
Σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον ἀμήχανον οὐδὲν ἐοικὸς
Θνητοῖς ἀνθρώποις, οὐδ' ἀθανάτοισι θεοῖσι
Σπῆι ἐνὶ γλαφυρῷ θείην κρατερόφρον' ἔχιδναν,
Ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηον,
Ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε
Ποικίλον. ὠμηστὴν ζαθέης ὑπὸ κεύθεσι γαίης.
Ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλη ὑπὸ πέτρη
Τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
Ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.
Ἡ δ' ἔρυτ' εἰν ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ ἔχιδνα
Ἡ ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
Τῇ δὲ τυφάονα φασὶ μιγήμεναι ἐν φιλότητι
Δεινόν θ' ὑβριστὴν ἄνομον ἑλικώπιδι κούρη,
Ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα
Ὄρθον μὲν πρῶτον κύνα γείνατο γηρυονῆϊ,
Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον οὔτι φατειὸν
Κέρβερον ὠμηστὴν ἀΐδεω κύνα χαλκεόφωνον.
Πεντηκοντοκέφαλον ἀναιδέα κρατερόν τε,
Τὸ τρίτον ὕδρην αὖτις ἐγείνατο λύγρ' εἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος ἥρη
Ἄπλητον κοτέουσα βίη ἡρακληείη.

Λειαγόρη τε, καὶ εὐαγόρη, καὶ λαομέδεια,
Πουλυνόη τε, καὶ αὐτονόη, καὶ λυσιάνασσα,
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος,
καὶ ψαμάθη χαρίεσσα δέμας, δίη τε μενίππη,
Νησώ τ' εὐπόμπη τε, θεμιστώ τε, προνόη τε,
Νημερτής θ' ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο
Αὗται μὲν νηρῆος ἀμύμονος ἐξεγένοντο
Κοῦραι πεντήκοντα ἀμύμονα ἔργ' εἰδυῖαι.
Θαύμας δ' ὠκεανοῦ βαθυρρόταο θύγατρα
Ἠγάγετ', ἠλέκτρην, ἣ δ' ὠκεῖαν τέκεν ἶριν,
Ἠϋκόμους θ' ἁρπυίας, ἀελλώ τ' ὠκυπέτην τε,
Αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
Ὠκείης πτερύγεσιν, μεταχρόνιαι γὰρ ἴαλλον.
Φόρκυϊ δ' αὖ κητὼ γραίας τέκε καλλιπαρήους,
Ἐκ γενετῆς πολιάς, τὰς δὴ γραίας καλέουσιν
Ἀθάνατοι θεοί, χαμαὶ ἐρχόμενοι τ' ἄνθρωποι·
Πεφρηδώ τ' εὔπεπλον, ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ ὠκεανοῖο
Ἐσχατιῇ πρὸς νυκτός, ἵν' ἑσπερίδες λιγύφωνοι,
Σθενώ τ', εὐρυάλη τε, μέδουσά τε λυγρὰ παθοῦσα.
Ἡ μὲν ἔην θνητή, αἳ δ' ἀθάνατοι καὶ ἀγήρως
Αἱ δύο, τῇ δὲ μιῇ παρελέξατο κυανοχαίτης
Ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι,
Τῆς δ' ὅτε δὴ περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν.
Ἐξέθορε χρυσάωρ τε μέγας καὶ πήγασος ἵππος.
τῷ μὲν ἐπώνυμοι ἦν, ὅτ' ἂν ὠκεανοῦ περὶ πηγὰς
Γένεθ' ὁ δ' ἄορ χρύσειον ἔχων μετὰ χερσὶ φίλῃσιν,
Χ' ὁ μὲν ἀποπτάμενος προλιπὼν χθόνα μητέρα μήλων
Ἵκετ' ἐς ἀθανάτους, ζηνὸς δ' ἐν δώμασι ναίει.

Ὑσμίνας τε φόνους τε, μάχας τ' ἀνδροκτασίας τε,
Νείκεά τε, ψευδέας τε λόγους, ἀμφιλογίας τε,
Δυσνομίην· ἄτην τε συνήθεας ἀλλήλοισιν,
Ορκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
Ρημαίνει. ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα τ' ἀψευδέα καὶ ἀληθέα γείνατο πόντος
Ρρεσβύτατον παίδων, αὐτὰρ καλέουσι γέροντα
Οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστῶν
Λήθεται. ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν.
Αὖτις δ' αὖ θαύμαντα μέγαν, καὶ ἀγήνορα φόρκυν
Γαίῃ μισγόμενος, καὶ κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ', ἀδάμαντος ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
Νηρῆος δ' ἐγένοντο μεγήριτα τέκνα θεάων
Ρόντῳ ἐν ἀτρυγέτῳ καὶ δωρίδος ἠϋκόμοιο
Κούρης ὠκεανοῖο τελήεντος ποταμοῖο,
Ρρωτώ τ', εὐκράντη τε, σαώ τ', ἀμφιτρίτη τε,
Εὐδώρη τε, θέτις τε, γαλήνη τε, γλαύκη τε,
Κυμοθόη σπειώ τε θοὴ, θαλίη τ' ἐρόεσσα,
Ρασιθέη τ', ἐρατώ τε, καὶ εὐνείκη ῥοδόπηχυς,
καὶ μελίτη χαρίεσσα, καὶ εὐλιμένη, καὶ ἀγαυὴ
δωτώ τε, πρωτώ τε, φερουσά τε, δυναμένη τε,
Νησαίη τε, καὶ ἀκταίη, καὶ πρωτομέδεια
Δωρὶς, καὶ πανόπη, καὶ εὐειδὴς γαλάτεια,
Ιπποθόη τ', ἐρόεσσα καὶ ἱππονόη ῥοδόπηχυς,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδεῖ πόντῳ
Ρνοιάς τε ζαθέων ἀνέμων σὺν κυματολήγῃ
Ρεῖα πρηΰνει, καὶ εὐσφύρῳ ἀμφιτρίτῃ,
Κυμώ τ', ἠϊόνη τε, εὐστέφανός θ' ἁλιμήδη,
γλαυκονόμη τε φιλομειδὴς καὶ ποντοπόρεια

Κυπρογένειαν δ' ὅτι γένετο πολυκλύστῳ ἐνὶ κύπρῳ.
Η δὲ φιλομμηδέα ὅτι μηδέων ἐξεφαάνθη
τῇ δ' ἔρος ὡμάρτησε καὶ ἵμερος ἕσπετο καλὸς
Γινομένῃ τὰ πρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ,
Ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει, ἠδὲ λέλογχε
Μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι.
παρθενίους τ' ὀάρους μειδήματα τ' ἐξαπάτας τε
Τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε,
τοὺς δὲ πατὴρ τιτῆνας ἐπίκλησιν καλέεσκε
Παῖδας νεικείων, μέγας οὐρανὸς οὓς τέκεν αὐτὸς,
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
Εργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι,
Νὺξ δ' ἔτεκε στυγερόν τε μόρον καὶ κῆρα μέλαιναν
Καὶ θάνατον, τέκε δ' ὕπνον. ἔτικτε δὲ φῦλον ὀνείρων,
Οὔτινι κοιμηθεῖσα θεὰ τέκε νὺξ ἐρεβεννὴ,
Δεύτερον αὖ μῶμον καὶ ὀϊζὺν ἀλγινόεσσαν
Εσπερίδας θ' αἷς μῆλα πέρην κλυτοῦ ὠκεανοῖο
Χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπῶν.
καὶ μοίρας καὶ κῆρας ἐγείνατο νηλεοποίνας,
Κλωθώ τε λάχεσίν τε καὶ ἄτροπον, αἵ τε βροτοῖσιν
Γινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε.
αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι
Οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
Πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.
Τίκτε δὲ καὶ νέμεσιν πῆμα θνητοῖσι βροτοῖσι
Νὺξ ὀλοὴ, μετὰ τὴν δ' ἀπάτην τέκε καὶ φιλότητα.
Γῆρας τ' οὐλόμενον καὶ ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ ἔρις στυγερὴ τέκε μὲν πόνον ἀλγεινόεντα
Λήθην τε λιμόν τε καὶ ἄλγεα δακρυόεντα,

Μῆτερ, ἐγώ κεν τοῦτο γ' ὑποσχόμενος τελέσαιμι
Ἔργον ἐπεὶ πατρός τε δυσωνύμου οὐκ ἀλογίζω
Ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.
ὣς φάτο, γήθησε δὲ μέγα φρεσὶ γαῖα πελώρη.
Εἷσε δέ μιν κρύψασα λόχῳ, ἐνέθηκε δὲ χειρὶ
Ἅρπην καρχαρόδοντα, δόλον δ' ὑπεθήκατο πάντα
Ἦλθε δὲ νύκτ' ἐπάγων μέγας οὐρανὸς, ἀμφὶ δὲ γαίῃ
Ἱμείρων φιλότητος ἐπέσχετο, καί ῥ' ἐτανύσθη
Πάντῃ, ὁ δ' ἐκ λοχίοιο πάϊς ἐδέξατο χειρὶ
Σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλαβεν ἅρπην
Μακρὴν, καρχαρόδοντα φίλου δ' ἀπὸ μήδεα πατρὸς
Ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
Ἐξ ὀπίσω, τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός.
Ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι
Πάσας δέξατο γαῖα, περιπλομένων δ' ἐνιαυτῶν
Γείνατ' ἐρινῦς τε κρατερὰς μεγάλους τε γίγαντας
Τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας.
νύμφας δ' ἃς μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν
Μήδεα δ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
Κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ.
ὣς φέρετ' ἀμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
Ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο, τῷ δ' ἐνὶ κούρη
Ἐθρέφθη, πρῶτον δὲ κυθήροισι ζαθέοισιν
Ἔπλετο, ἔνθεν ἔπειτα περίρρυτον ἵκετο κύπρον.
Ἐκ δ' ἔβη αἰδοίη καλὴ θεὸς, ἀμφὶ δὲ ποίη
Ποσσὶν ὑπαὶ ῥαδινοῖσιν ἀέξετο. τὴν δ' ἀφροδίτην
Ἀφρογένειάν τε θεὰν, καὶ ἐϋστέφανον κυθέρειαν
Κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ
Θρέφθη, ἀτὰρ κυθέρειαν ὅτι προσέκυρσε κυθήροις.

Οἳ ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξαί τε κεραυνὸν,
Οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
Μοῦνος δ' ὀφθαλμὸς μέσω ἐνέκειτο μετώπω,
Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα, σφέων
Κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπω·
Ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις,
Ἄλλοι δ' αὖ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο
Τρεῖς παῖδες μεγάλοι καὶ ὄμβριμοι οὐκ ὀνομαστοὶ
Κόττος τε, βριαρεώς τε, γύης θ' ὑπερήφανα τέκνα,
Τῶν ἑκατὸν μὲν χεῖρες ἐπ' ὤμων ἀΐσσοντο
Ἀπλαστοὶ, κεφαλαὶ δ' ἑκάστω πεντήκοντα
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν·
Ἰσχύς τ' ἄπλητος κρατερὴ μεγάλω ἐπὶ εἴδει.
Ὅσοι γὰρ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο
Δεινότατοι παίδων σφετέρω δ' ἤχθοντο τοκῆϊ
Ἐξ ἀρχῆς καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο
Πάντας ἀποκρύπτασκε, καὶ ἐς φάος οὐκ ἀνίεσκε
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργω
Οὐρανός· ἡ δ' ἐντὸς στεναχίζετο γαῖα πελώρη
Στεινομένη, δολίην δὲ κακὴν ἐπεφράσατο τέχνην
Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος.
Τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισιν
Εἶπε δὲ θαρσύνουσα φίλον τετιημένη ἦτορ,
Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου αἴκ' ἐθέλητε
Πείθεσθαι, πατρὸς δὲ κακὴν τισαίμεθα λώβην
Ὑμετέρου, πρότερος ἀεικέα μήσατο ἔργα.
Ὣς φάτο, τοὺς δ' ἄρα πάντας ἕλε δέος. οὐδέ τις αὐτῶν
Φθέγξατο, θαρσήσας δὲ μέγας κρόνος ἀγκυλομήτης
Ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν.

Ὥς τ' ἄφενος δάσαντο καὶ ὡς τιμὰς διέλοντο,
Ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον ὄλυμπον.
Ταῦτά μοι ἔσπετε μοῦσαι ὀλύμπια δώματ' ἔχουσαι
Ἐξ ἀρχῆς, καὶ εἴπαθ' ὅτι πρῶτον γένετ' αὐτῶν,
Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι καρηνιφόεντος ὀλύμπου,
Τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης
Ἠδ' ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
Λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Δάμναται ἐν στήθεσι νόον καὶ ἐπίφρονα βουλήν
Ἐκ χάεος δ' ἔρεβός τε, μέλαινά τε νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη ἐξεγένοντο,
Οὓς τέκε κυσαμένη ἐρέβει φιλότητι μιγεῖσα
Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ' ἵνα μιν περὶ πάντα καλύπτοι,
Ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' οὔρεα μακρὰ θεῶν χαρίεντας ἐναύλους
Νυμφέων αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα,
Ἠδὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θυῖον
Πόντον ἄτερ φιλότητος ἐφιμέρου, αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ' ὠκεανὸν βαθυδίνην.
Κοῖόν τε, κρεῖόν τε, ὑπερίονά τ' ἰαπετόν τε.
Θείαν τε, ῥείαν τε, θέμιν τε, μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον. τηθύν τ' ἐρατεινήν,
Τοὺς δὲ μέθ' ὁπλότατος γένετο κρόνος ἀγκυλομήτης
Δεινότατος παίδων θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βροντήν τε, στεροπήν τε, καὶ ἄργην ὀβριμόθυμον,

Τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χείουσιν ἀοιδήν·
Τοῦ δ' ἔπ' ἐκ στόματος ῥεῖ μείλιχα, οἱ δέ νυ λαοὶ
Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας·
Ἰθείῃσι δίκῃσιν. ὁ δ' ἀσφαλέως ἀγορεύων,
Αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
Βλαπτομένοις, ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι.
Ῥηιδίως μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν
Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὣς ἱλάσκονται.
Αἰδοῖ μειλιχίῃ. μετὰ δὲ πρέπει ἀγρομένοισιν.
Οἷά τε μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.
Ἐκ γάρ τοι μουσάων καὶ ἑκηβόλου ἀπόλλωνος.
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί.
Ἐκ δὲ διὸς βασιλῆες, ὁ δ' ὄλβιος ὅν τινα μοῦσαι
Φιλεῦνται, γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδέϊ θυμῷ
Ἄζηται κραδίην ἀκαχήμενος. αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
Ὑμνήσει μάκαράς τε θεοὺς οἳ ὄλυμπον ἔχουσιν.
Αἶψ' ὅ γε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
Μέμνηται. ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε τέκνα διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν·
Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος.
Νυκτός τε δνοφερῆς, οὓς δ' ἁλμυρὸς ἔτρεφε πόντος.
Εἴπετε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
Καὶ ποταμοί, καὶ πόντος ἀπείριτος, οἴδματι θυίων.
Ἄστρα τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.

Μνημοσύνη, γουνοῖσιν ἐλευθῆρος μεδέουσα.
Λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
Ἐννέα γὰρ οἱ νύκτας ἐμίσγετο μητιέτα ζεύς.
Νόσφιν ἀπ᾽ ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων.
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἔην ἐνιαυτὸς περὶ δ᾽ ἔτραπον ὧραι
Μηνῶν φθινόντων. περὶ δ᾽ ἤματα πόλλ᾽ ἐτελέσθη.
Ἡ δ᾽ ἔτεκ᾽ ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
Μέλλεται ἐν στήθεσιν ἀκηδέα θυμὸν ἐχούσαις.
τυτθὸν ἀπ᾽ ἀκροτάτης κορυφῆς νιφόεντος ὀλύμπου
Ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά.
πὰρ δ᾽ αὐτῆς χάριτες καὶ ἵμερος οἰκί᾽ ἔχουσιν.
Ἐν θαλίης ἐρατὴν δὲ διὰ στόμα ὄσαν ἱεῖσαι,
Μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνά,
Ἀθανάτων κλείουσιν ἐπήρατον ὄσαν ἱεῖσαι.
αἵ τότ᾽ ἴσαν πρὸς ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ
Ἀμβροσίῃ μολπῇ, περὶ δ᾽ ἴαχε γαῖα μέλαινα.
Ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
Νισσομένων πατέρ᾽ ἐς ὅν, ὃ δ᾽ οὐρανὸν ἐμβασιλεύει.
αὐτὸς ἔχων βροντὴν ἠδ᾽ αἰθαλόεντα κεραυνόν,
Κάρτει νικήσας πατέρα κρόνον εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς. καὶ ἐπέφραδε τιμάς.
Ταῦτ᾽ ἄρα μοῦσαι ἄειδον ὀλύμπια δώματ᾽ ἔχουσαι
Ἐννέα θυγατέρες μεγάλου διὸς ἐκγεγαυῖαι.
Κλειώ τ᾽ εὐτέρπη τε. θάλειά τε, μελπομένη τε,
Τερψιχόρη τ᾽ ἐρατώ τε. πολύμνιά τ᾽ οὐρανίη τε.
Καλλιόπη θ᾽ ἣ δὲ, προφερεστάτη ἐστὶν ἁπασῶν.
Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ
Ὄντινα τιμήσουσι διὸς κοῦραι μεγάλοιο.
γεινόμενον τ᾽ ἐσίδωσι διοτρεφέων βασιλήων.

Μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο.
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα γαστέρες οἶον,
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα.
Ἴδμεν δ' εὖτ' ἐθέλωμεν ἀληθέα μυθήσασθαι.
Ὣς ἔφασαν κοῦραι μεγάλου διὸς ἀρτιέπειαι.
Καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
Δρέψασθαι θηητὸν, ἐνέπνευσαν δέ μοι αὐδὴν
Θείην, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
Καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων.
Σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
Ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην.
Τύνη μουσάων ἀρχώμεθα, ταὶ διὶ πατρὶ
Ὑμνεῦσαι, τέρπουσι μέγαν νόον ἐντὸς ὀλύμπου.
Εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
Φωνῇ ὁμηρεῦσαι. τῶν δ' ἀκάματος ῥέει αὐδὴ,
Ἐκ στομάτων ἡδεῖα γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
Σκιδναμένῃ. ἠχεῖ δὲ κάρη νιφόεντος ὀλύμπου.
Δώματ' ἀθανάτων, αἱ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι,
Θεῶν γένος αἰδοίων πρῶτον κλείουσιν ἀοιδῇ.
Ἐξ ἀρχῆς, οὓς γαῖά τε καὶ οὐρανὸς εὐρὺς ἔτικτεν.
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.
Δεύτερον αὖτε ζῆνα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
Ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ, λήγουσί τ' ἀοιδῆς.
Ὅσσον φέρτερός ἐστι θεῶν, κράτεΐ τε μέγιστος.
Αὖτις δ' ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων,
Ὑμνεῦσαι τέρπουσι διὸς νόον ἐντὸς ὀλύμπου.
μοῦσαι ὀλυμπιάδες κοῦραι διὸς αἰγιόχοιο,
Τὰς ἐν πιερίῃ κρονίδῃ τέκε πατρὶ μιγεῖσα

Ουσάων ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν.
μ Αἵθ' ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε.
Καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
Ορχεῦνται, καὶ βωμὸν ἐρισθενέος κρονίωνος,
καί τε λοεσσάμεναι τέρενα χρόα περμήσσοιο,
Η' ἵππου κρήνης, ἢ ὀλμειοῦ ζαθέοιο.
Ακροτάτῳ ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
καλοὺς ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσὶν
Ενθεν ἀπορνύμεναι κεκαλυμμέναι ἠέρι πολλῷ,
Εννύχιαι στεῖχον περικαλλέα ὄσσαν ἱεῖσαι.
Υμνεῦσαι δία τ' αἰγίοχόν τε καὶ πότνιαν ἥρην,
Αργείην χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν.
κούρην τ' αἰγιόχοιο διὸς γλαυκῶπιν ἀθήνην.
φοῖβόν τ' ἀπόλλωνα, καὶ ἄρτεμιν ἰοχέαιραν.
Ηδὲ ποσειδάωνα γαιήοχον ἐννοσίγαιον,
καὶ θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' ἀφροδίτην.
Ηβην τε χρυσοστέφανον, καλήν τε διώνην.
Λητώ τ' ἰαπετόν τε, ἰδὲ κρόνον ἀγκυλομήτην.
Ηῶ τ', ἠέλιόν τε μέγαν λαμπράν τε σελήνην,
Γαῖαν τ', ὠκεανόν τε μέγαν, καὶ νύκτα μέλαιναν.
Αλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἵ νύ ποθ' ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν
Αρνας ποιμαίνονθ' ἑλικῶνος ὕπο ζαθέοιο.
Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον.

Οἰωνοῖς κρίνας οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
Πέμπτας δ' ἐξαλέασθαι· ἐπεὶ χαλεπαί τε καὶ αἰναί
Ἐν πέμπτῃ γάρ φασιν ἐριννύας ἀμφιπολεύειν
Ὅρκον τιννυμένας τὸν ἔρις τέκε πῆμ' ἐπιόρκοις.
μέσσῃ δ' ἑβδομάτῃ δημήτερος ἱερὸν ἀκτὴν
Εὖ μάλ' ὀπιπτεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
Βάλλειν ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα
Νήϊα τε ξύλα πολλὰ τά τ' ἄρμενα νηυσὶ πέλονται.
Τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.
Εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώϊον ἦμαρ.
Πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν.
Ἐσθλὴ μὲν γάρ τ' ἠδὲ φυτευέμεν ἠδὲ γενέσθαι
Ἀνέρι τ' ἠδὲ γυναικὶ καὶ οὔποτε πάγκακον ἦμαρ.
Παῦροι δ' αὖτ' ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
Ἄρξασθαί τε πίθου καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
Βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι.
Νῆα πολυκλήϊδα θοὴν ἐς οἴνοπα πόντον
Εἰρύμεναι. παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
Τετράδι δ' οἶγε πίθον, περὶ πάντων ἱερὸν ἦμαρ
μέσσῃ. παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
Ἠοῦς γινομένης. ἐπὶ δείελα δ' ἐστὶ χερείων.
αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ.
Αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
Τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
Εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν.
Ὄρνιθας κρίνων καὶ ὑπὸ βασίας ἀλεείνων.

Ογδοάτη τ' ἐνάτη τε δύω γε μὲν ἤματα μηνὸς
Εξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι.
Ενδεκάτη δυωδεκάτη τ' ἄμφω γε μὲν ἐσθλαὶ
Η μὲν, ὄϊς πείκειν· ἡ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι.
Η δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων.
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
Ηματος ἐκπλείου· ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται
τῇ δ' ἱστὸν στήσαιτο γυνή. προβάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι,
Σπέρματος ἄρξασθαι φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
Εκτη δ' ἡ μέσση μάλ' ἀσύμφορος ἐστὶ φυτοῖσι.
Ανδρογόνος τ' ἀγαθή. κούρη δ' οὐ σύμφορός ἐστιν
Ουτε γενέσθαι πρῶτ' οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.
Ουδὲ μὲν ἡ πρώτη ἕκτη κούρη γε γενέσθαι
Αρμενος· ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἤπιον ἦμαρ.
Εσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κέρτομα βάζειν.
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους, τ' ὀαρισμοὺς
μηνὸς δ' ὀγδοάτη κάπρον καὶ βοῦν ἐρίμυκον
Ταμνέμεν· οὐρῆας δὲ δυωδεκάτη ταλαεργούς.
Εἰκάδι δ' ἐν μεγάλη πλέω ἤματι ἵστορα φῶτα
Γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
Εσθλὴ δ' ἀνδρογόνος δεκάτη· κούρη δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς,
Καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
Πρηΰνειν ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
Τετράδ' ἀλεύασθαι φθίνοντος θ' ἱσταμένου τε
Αλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
Εν δὲ τετάρτη μηνὸς ἄγεσθαι δ' εἰς οἶκον ἄκοιτιν

μήτι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.
μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
Εσθειν. μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
μηδ' ἐπ' ἀκινήτοισι καθίζειν. οὐ γὰρ ἄμεινον
Παῖδα δυωδεκαταῖον. ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ,
μηδὲ δυωδεκάμηνον. ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
Ανέρα. λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
Ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα. θεός νύ τοι καὶ τὰ νεμεσσᾷ.
μηδέποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι.
μηδ' ἐναποψύχειν. τὸ γὰρ οὔ τοι λώϊόν ἐστιν.
Ω δ' ἔρδειν. δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
Φήμη γάρ τε κακὴ πέλεται. κούφη μὲν ἀεῖραι
Ρεῖα μάλ' ἀργαλέη δὲ φέρειν. χαλεπὴ δ' ἀποθέσθαι
Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται ἥν τινα πολλοὶ
Λαοὶ φημίξουσι. θεός νύ τοι ἐστὶ καὶ αὐτή.

H Ματα δ' ἐκ διόθεν πεφυλαγμέ-
νος εὖ κατὰ μοῖραν
Πεφραδέμεν δμώεσσι. τριηκάδε
μηνὸς ἀρίστην
Εργατ' ἐποπτεύειν. ἠδ' ἁρμαλι-
ὴν δατέασθαι.

Εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
Αἵδε γὰρ ἡμέραι εἰσὶ διὸς παρὰ μητιόεντος.
Πρῶτον ἕνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ.
τῇ γὰρ ἀπόλλωνα χρυσάορα γείνατο λητώ,

Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς. πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
Εἰ δὲ κακὸν εἴποις τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
μὴ δὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι.
Ἐκ κοινοῦ πλείστη δὲ χάρις. δαπάνη τ' ὀλιγίστη.
μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
Χερσὶν ἀνίπτοις. μὴ δ' ἄλλοις ἀθανάτοισιν.
Οὐ γὰρ τοί γε κλύουσιν. ἀποπτύουσι δέ τ' ἀράς.
μὴ δ' ἄντ' ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν.
Αὐτὰρ ἐπεί κε δύῃ μεμνημένος ἔς τ' ἀνιόντα.
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς.
μὴ δ' ἀπογυμνωθείς. μακάρων τοι νύκτες ἔασιν.
Ἑζόμενος δ' ὅ γε θεῖος ἀνὴρ πεπνυμένα εἰδώς.
Ἢ ὅ γε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
μὴ δ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου
Ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν. ἀλλ' ἀλέασθαι,
μὴ δ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
Σπερμαίνειν γενεήν. ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
μὴ δ' ἐπὶ κρηνάων οὐρεῖν. μάλα δ' ἐξαλέασθαι
μηδέποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
Ποσὶ περᾷν πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
Χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
Ὃς ποταμὸν διαβῇ κακότητι δὲ χεῖρας ἄνιπτος
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.
μὴ δ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
Αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
μηδέποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
Πινόντων. ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
μὴ δὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,

Αλλὰ πλέω λείπειν· τὰ δὲ μείονα φορτίζεσθαι.
Δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κῦρσαι.
Δεινὸν δ' εἴκ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
Αξονα καυάξαις. τὰ δὲ φορτί' ἀμαυρωθείη.
μέτρα φυλάσσεσθαι. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
Ωραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.
μήτε τριήκοντα ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά. γάμος δέ τοι ὥριος οὗτος.
Η δὲ γυνὴ τέτορ' ἡβώοι. πέμπτῳ δὲ γαμοῖτο.
Παρθενικὴν δὲ γαμεῖν. ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
Τὴν δὲ μάλιστα γαμεῖν, ἥτις σέθεν ἐγγύθι ναίει,
Πάντα μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα γήμῃς
Οὐ μὲν γάρ τοι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
Τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο
Δειπνολόχης. ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
Εὔει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι
μὴ δὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον.
Εἰ δέ κε ποιήσῃς μή μιν πρότερον κακὸν ἔρξῃς.
μὴ δὲ ψεύδεσθαι γλώσσης χάριν. εἰ δέ κε γ' ἄρχῃ
Η τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
Δὶς τόσα τίνυσθαι μεμνημένος. εἰ δέ κεν αὖθις
Ηγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
Δέξασθαι. δειλός τις ἀνὴρ φίλον ἄλλοτε ἄλλον
Ποιεῖται. σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
μὴ δὲ πολύξεινον μὴ δ' ἄξεινον καλέεσθαι.
μὴ δὲ κακῶν ἑτάρων. μήτε δ' ἐσθλῶν νεικεστῆρα.
μηδέποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
Τέτλαθ' ὀνειδίζειν. μακάρων δόσιν αἰὲν ἐόντων,

Ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο.
μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο
ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος, οὔτε κε νῆα
καυάξαις, οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ μὴ δὴ πρόφρων γε ποσειδάων ἐνοσίχθων,
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλησιν ὀλέσσαι.
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
Τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
Εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
Ἕλκε μὲν ἐς πόντον· φόρτον δ' ἐς πάντα τίθεσθαι·
Σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἴκονδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, νότοιό τε δεινὰς ἀήτας,
Ὅς τ' ὤρινε θάλασσαν ὁμαρτήσας διὸς ὄμβρῳ
Πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
Ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν.
Ἦμος δὴ τὸ πρῶτον ὅσον τ' ἐπιβᾶσα κορώνη
Ἴχνος ἐποίησεν τόσον πέταλ' ἀνδρὶ φανείη
Ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα.
Εἰαρινὸς δ' οὗτος πέλεται πλόος· οὔ μιν ἔγωγε
Αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστὶν
Ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καίτοι
ἄνθρωποι ῥέζουσιν ἀιδρείῃσι νόοιο·
Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
Δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν ὡς σ' ἀγορεύω.
μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι.

Ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
Ὥσπερ ἐμός τε πατὴρ καὶ σὸς μέγα νήπιε πέρση.
Πλωΐζεσκ' ἐν νηυσὶ βίου κεχρημένος ἐσθλοῦ·
Ὅς ποτε καὶ τῇδ' ἦλθε πολὺν διὰ πόντον ἀνύσσας,
κύμην αἰολίδα προλιπὼν ἐν νηῒ μελαίνῃ.
Οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
Ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσι.
Νάσσατο δ' ἄγχ' ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ' ὦ πέρση ἔργων μεμνημένος εἶναι
Ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι.
Μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
Ἔσσεται, εἴκ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν
Βούληαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,
Δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
Οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
Οὐ γάρ πώ ποτε νηῒ γ' ἐπέπλων εὐρέα πόντον,
Εἰ μὴ ἐς εὔβοιαν ἐξ αὐλίδος, ᾗ ποτ' ἀχαιοὶ
Μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς τροίην ἐς καλλιγύναικα,
Ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος ἀμφιδάμαντος
Χαλκίδα τ' εἰσεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
Ἄεθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
Ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
Τὸν μὲν ἐγὼ μούσῃσ' ἑλικωνιάδεσσ' ἀνέθηκα,
Ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
Τόσον τοι νηῶν γε πεπείραμαι πολυγόμφων.

Δίζεσθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος.
Καὶ κύνα καρχαρόδοντα κομεῖν, μὴ φείδεο σίτου·
Μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται.
Χόρτον δ' ἐσκομίσαι καὶ συρφετόν, ὄφρα τοι εἴη
Βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. αὐτὰρ ἔπειτα,
Δμῶας ἀναψῦξαι φίλα γούνατα, καὶ βόε λῦσαι.
Εὖτ' ἂν δ' ὠρίων καὶ σείριος ἐς μέσον ἔλθοι
Οὐρανόν, ἀρκτοῦρον δ' ἐσίδοι ῥοδοδάκτυλος ἠώς,
Ὦ πέρση, τότε πάντας ἀποδρέπε οἴκαδε βότρυς.
Δεῖξαι δ' ἠελίῳ δέκα ἤματα καὶ δέκα νύκτας,
Πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
Δῶρα διονύσου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' ὑάδες τε, τό, τε σθένος ὠρίωνος
Δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
Ὡραίου, πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
Εὖτ' ἂν πληϊάδες σθένος ὄβριμον ὠρίωνος
Φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,
Δὴ τότε παντοίων ἀνέμων θυίουσιν ἀῆται.
Καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ.
Γῆν δ' ἐργάζεσθαι μεμνημένος ὥς σε κελεύω.
Νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι. πυκάσαι τε λίθοισι
Πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
Χείμαρον ἐξερύσας ἵνα μὴ πύθῃ διὸς ὄμβρος.
Ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ.
Εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο.
Πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
Αὐτὸς δ' ὡραῖον μίμνειν πλόον εἰσόκεν ἔλθῃ.
Καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν· ἐν δέ τε φόρτον

Φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον.
Ὥρῃ ἐν ἀμήτου ὅτε τ' ἠέλιος χρόα κάρφει.
Τημοῦτος σπεύδειν καὶ οἴκαδε καρπὸν ἀγείρειν.
Ὄρθρου ἀνιστάμενος ἵνα τοι βίος ἄρκιος εἴη.
Ἠὼς γὰρ ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
Ἠώς τοι προφέρει μὲν ὁδοῦ. προφέρει δὲ καὶ ἔργου.
Ἠὼς ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
Ἀνθρώπους. πολλοῖς δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ
Δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
Πυκνὸν ὑπὸ πτερύγων θέρεος καματώδεος ὥρῃ,
Τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,
Μαχλόταται δὲ γυναῖκες. ἀφαυρότατοι δέ τοι ἄν-
δρες εἰσίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα σείριος ἄζει.
Αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. ἀλλὰ τότ' ἤδη
Εἴη πετραίη τε σκιὴ καὶ βίβλινος οἶνος.
Μᾶζά τ' ἀμολγαίη. γάλα τ' αἰγῶν σβεννυμενάων.
Καὶ βοὸς ὑλοφάγοιο κρέας, μήπω τετοκυίης.
Πρωτογόνων τ' ἐρίφων. ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον
Ἐν σκιῇ, ἑζόμενον κεκορημένον ἦτορ ἐδωδῆς.
Ἀντίον ἀκραέος ζεφύρου τρέψαντα πρόσωπον,
Κρήνης τ' αἰενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος
Τρὶς ὕδατος προχέειν. τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
Δμωσὶ δ' ἐποτρύνειν δημήτερος ἱερὸν ἀκτὴν
Δινέμεν, εὖτ' ἂν πρῶτον φανῇ σθένος ὠρίωνος
Χώρῳ ἐν εὐαεῖ καὶ εὐτροχάλῳ ἐν ἀλωῇ.
Μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν. αὐτὰρ ἐπὴν δὴ
Πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκου
Θῆτ' ἄοικον ποιεῖσθαι. καὶ ἄτεκνον ἔριθον

Υετοῦ ἀμφιβάλῃ ἀλέην κεφαλῆφι. δ' ὕπερθεν
Πῖλον ἔχειν ἀσκητὸν ἵν' οὔατα μὴ καταδεύῃ.
Ψυχρὴ γὰρ τ' ἠὼς πέλεται βορέαο πεσόντος.
Ἠῶος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος,
Ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις.
Ὅς τε ἀρυσσάμενος ποταμῶν ἀπὸ αἰενναόντων
Ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
Ἄλλοτε μὲν θ' ὕει ποτὶ ἕσπερον· ἄλλοτ' ἄησι
Πυκνὰ θρηϊκίου βορέου νέφεα κλονέοντος.
Τὸν φθάμενος ἔργα τελέσας οἶκόνδε νέεσθαι.
Μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ·
Χρῶτα δὲ μυδαλέον θείη, κατά θ' εἵματα δεύσῃ.
Ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
Χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
Τῆμος θ' ὥμισυ βουσὶν, ἐπὶ δ' ἀνέρι τὸ πλέον εἴη
Ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί.
Ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
Ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰσόκεν αὖτις
Γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
Χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον ὠκεανοῖο
Πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος.
Τὸν δὲ μετ' ὀρθογόη πανδιονὶς ὦρτο χελιδὼν,
Ἐς φάος ἀνθρώποις ἔαρος νέον ἱσταμένοιο.
Τὴν φθάμενος οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον,
Ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων,
Ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν.

Καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι,
Οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
Ις ἀνέμου βορέαο. τροχαλὸν δὲ γέροντα τίθησι.
Καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
Ητε δόμων ἔντοσθι φίλῃ παρὰ μητέρι μίμνει
Οὔπω ἔργ' εἰδυῖα πολυχρύσου ἀφροδίτης.
Εὖ τε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
Χρισαμένη μυχίη καταλέξεται ἔνδοθι οἴκου,
Ηματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει,
Εντ' ἀπύρῳ οἴκῳ, καὶ ἐν ἤθεσι λευγαλέοισιν.
Οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι.
Αλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
Στρωφᾶται. βράδιον δὲ πανελλήνεσσι φαείνει.
Καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
Λυγρὸν μυλιόωντες ἀνὰ δρυία βησσήεντα
Φεύγουσιν, καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν.
Οἱ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
Καὶ γλάφυ πετρῆεν, τότε δὴ τρίποδι βροτῷ ἶσοι,
Οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται.
Τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν.
Καὶ τότε ἕσσασθαι ἔρυμα χροὸς ὥς σε κελεύω,
Χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα,
Στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι.
Τὴν περιέσσασθαι ἵνα τοι τρίχες ἀτρεμέωσι.
Μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα.
Αμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
Αρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσας.
Πρωτογόνων δ' ἐρίφων ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
Δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ

Τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν.
Τῆμος ζεὺς ὕοι τρίτω ἤματι μήδ' ἀπολήγοι
Μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν, μήτ' ἀπολείπων.
Οὕτω κ' ὀψαρότης πρωτηρότη ἰσοφαρίζει.
Ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο, μὴ δέ σε λήθοι
Μήτ' ἔαρ γινόμενον πολιὸν μήθ' ὥριος ὄμβρος.
Πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
Ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας ἔργων
Ἰσχάνει. ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλει.
Μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
Σὺν πενίῃ. λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζοις.
Πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων
Χρηΐζων βιότοιο κακὰ προσελέξατο θυμῷ.
Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.
Ἥμενον ἐν λέσχῃ, ᾧ μὴ βίος ἄρκιος εἴη.
Δείκνυε δὲ δμώεσσι θέρευς ἔτι μέσσου ἐόντος,
Οὐκ αἰεὶ θέρος ἐσσεῖται. ποιεῖσθε καλιάς.
Μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα
Τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵτ' ἐπὶ γαῖαν
Πνεύσαντος βορέαο δυσηλεγέες τελέθουσι.
Ὅς τε διὰ θρῄκης ἱπποτρόφου εὐρέϊ πόντῳ
Ἐμπνεύσας ὤρινε. μέμυκε δὲ γαῖα καὶ ὕλη.
Πολλὰς δὲ δρῦς ὑψικόμους, ἐλάτας τε παχείας
Οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
Ἐμπίπτων. καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
Τῶν καὶ λάχνῃ δέρμα κατάσκιον, ἀλλά νυ καὶ τῶν,
Θῆρες δὲ φρίσσουσ' οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο.
Ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων.
Καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.

Εὖτ' ἂν δὴ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
Δὴ τότ' ἐφορμηθῆναι ὁμῶς δμῶές τε καὶ αὐτὸς,
Αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
Πρωῒ μάλα σπεύδων ἵνα τοι πλήθωσιν ἄρουραι.
Ἔαρι πολεῖν· θέρεος δὲ νεομένη οὔ σ' ἀπατήσει.
Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.
Νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα.
Εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτὴν,
Ἀρχόμενος τὰ πρῶτ' ἀρότου ὅταν ἄκρον ἐχέτλης
Χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεσάβων, ὁ δὲ τυτθὸς ὄπισθεν
Δμῶος ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη
Σπέρματα κακκρύπτων· εὐθημοσύνη γὰρ ἀρίστη
Θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
Ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
Εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
Γηθήσειν βιότοιο ἐρυόμενον ἔνδον ἐόντος,
Εὐοχέων δ' ἵξεαι πολιὸν ἔαρ· οὐδὲ πρὸς ἄλλους
Αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῃς χθόνα δῖαν
Ἥμενος ἀμήσεις ὀλίγον περὶ χειρὸς ἐέργων
Ἀντία δεσμεύων κεκονιμένος οὐ μάλα χαίρων,
Οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο.
Ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.
Εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη.
Ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι

Εἰς οἶκον κατ᾽ ὄρος διζήμενος, ἢ κατ᾽ ἄρουραν
Πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν·
Εὖτ᾽ ἂν ἀθηναίης δμῶος ἐν ἐλύματι πήξας
Γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.
Δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατ᾽ οἶκον
Αὐτόγυον καὶ πηκτὸν· ἐπεὶ πολὺ λώϊον οὕτω.
Εἴχ᾽ ἕτερον τ᾽ ἄξαις· ἕτερον κ᾽ ἐπὶ βουσὶ βάλοιο,
Δάφνης δ᾽ ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες,
Δρυὸς ἔλυμα, πρίνου γύην· βόε δ᾽ ἐνναετήρω
Ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνὸν
Ἥβης μέτρον ἔχοντε, τὼ ἐργάζεσθαι ἀρίστω,
Οὐκ ἂν τώγ᾽ ἐρίσαντες ἐν αὔλακι κὰμ μὲν ἄροτρον
Ἄξειαν· τὸ δ᾽ ἔργον ἐτώσιον αὖθι λίποιεν.
Τοῖς δ᾽ ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο
Ἄρτον δειπνήσας τετράτρυφον ὀκτάβλωμον
Ὅς κ᾽ ἔργου μελετῶν ἰθεῖαν αὔλακ᾽ ἐλαύνοι,
Μηκέτι παπταίνων μεθ᾽ ὁμήλικας· ἀλλ᾽ ἐπὶ ἔργῳ
Θυμὸν ἔχων· τοῦ δ᾽ οὔτι νεώτερος ἄλλος ἀμείνων
Σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι.
Κουρότερος γὰρ ἀνὴρ μεθ᾽ ὁμήλικας ἐπτοίηται·
Φράζεσθαι δ᾽ εὖτ᾽ ἂν φωνὴν γεράνου ἐπακούσῃς
Ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης.
Ἥτ᾽ ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
Δεικνύει ὀμβρηροῦ· κραδίην δ᾽ ἔδακ᾽ ἀνδρὸς ἀβούτεω
Δή τοτε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας,
Ῥηΐδιον γὰρ ἔπος εἰπεῖν βόε δὸς καὶ ἅμαξαν,
Νήπιος οὐδὲ τόγ᾽ οἶδ᾽ ἑκατὸν δέ τε δούρατ᾽ ἁμάξης,
Τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκήια θέσθαι.
Ῥηΐδιον δ᾽ ἀπανήνασθαι· πάρα δ᾽ ἔργα βόεσσιν
Φησὶ δ᾽ ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν.

Μήποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων
Ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσιν.
Δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
Χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις.
Ἀχρεῖος δ' ἔσται ἐπέων νομός· ἀλλά σ' ἄνωγα
Φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν τ' ἀροτῆρα,
Κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο,
Χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
Μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
» Ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
» Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἐννῆφιν.
» Οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν,
Οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει.
Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
Καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
Πολλὸν ἐλαφρότερος· δὴ γὰρ τότε σείριος ἀστὴρ
Βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
Ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ.
Ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
Ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοιο τε λήγει,
Τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.
Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
Ἄξονα δ' ἑπταπόδην· μάλα γὰρ νύ τοι ἄρμενος οὕτω.
Εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφῦραν κε τάμοιο.
Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ.
Πόλλ' ἐπὶ καμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς

Αἱμύλα κωτίλλουσα τεὴν διφῶσα καλιήν,
Ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φιλήτῃσι.
Μουνογενὴς δὲ πάϊς σώζοι πατρώϊον οἶκον
Φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι,
Γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.
Ῥᾶα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη,
Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι,
Ὧδ' ἔρδειν· ἔργον δ' ἔτ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

Ληϊάδων ἀτλαγενέων ἐπιτελλομενάων
Ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων,
Αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
Κεκρύφαται· αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
Φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
Ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
Πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
Ναίουσι· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν·
Γυμνὸν δ' ἀμᾶσθαι, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
Ἔργα κομίζεσθαι Δημήτερος, ὥς τοι ἕκαστα
Ὥρι' ἀέξηται, μή πως τὰ μεταξὺ χατίζων.
Πτώσσῃς ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύσσῃς,
Ὡς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω.
Οὐδ' ἐπιμετρήσω· ἐργάζευ νήπιε Πέρση.
Ἔργα τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο.

μήποτε

Γείτονες ἄζωστοι ἔκιον. ζώσαντο δὲ πηοί.
Πῆμα κακὸς γείτων. ὅσον τ' ἀγαθὸς μέγ' ὄνειαρ,
Ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ' ἂν βοῦς ἀπόλοιτ' εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
Αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι.
Ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
Μὴ κακὰ κερδαίνειν. κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν καὶ τῷ προσιόντι προσεῖναι.
Καὶ δόμεν ὅς κεν δῷ. καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκεν.
Δὼς ἀγαθή. ἅρπαξ δὲ κακή. θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ γε καὶ μέγα δώῃ
Χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
Ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
Καί τε σμικρὸν ἐόν, τότ' ἐπάχνωσε φίλον κῆρ.
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
Καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἴθοπα λιμόν.
Οὐδὲ τόγ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι,
Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι. πῆμα δὲ θυμῷ
Χρηΐζειν ἀπεόντος. ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι.
Μεσσόθι φείδεσθαι, δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.
Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
Πίστεις δ' ἄρ' ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μὴ δὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω

Εἰς ἔργον τρέψαι, μελετᾷς βίου ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
Αἰδὼς ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησιν.
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα πολλὸν ἀμείνω.
Εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
Ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλὰ
Γίνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
Ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ,
Ῥεῖα τέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκοι
Ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσον δ' ὅ θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξει.
Ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνοι
Κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων.
Ὅς τέ τευ ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα.
Ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
Νεικείῃ, χαλεποῖσι καθαπτόμενος ἐπέεσιν.
Τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
Ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν,
Καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
Ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν.
Ἄλλοτε δὴ σπονδῇσι θυέεσί τε ἱλάσκεσθαι,
Ἡ μὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ.
Ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν.
Ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι.
Τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει.
Εἰ γάρ τοι καὶ χρῆμ' ἐγχώριον ἄλλο γένηται

Τὴν μέν τοι κακότητα, καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
Ῥηιδίως· ὀλίγη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηιδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσει,
Φρασσάμενος τά κ' ἔπειτα, καὶ ἐς τέλος ᾖσιν ἀμείνω.
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
Ὃς δέ κε μήθ' αὐτῷ νοέῃ, μήτ' ἄλλου ἀκούων
Ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήιος ἀνήρ.
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
Ἐργάζευ Πέρση δῖον γένος, ὄφρα σε λιμὸς
Ἐχθαίρῃ· φιλέῃ δὲ ἐϋστέφανος Δημήτηρ
Αἰδοίη· βιότου δὲ τεὴν πιμπλῇσι καλιήν.
Λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
Ζώῃ κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν.
Οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
Ἔσθοντες. σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
Ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
Καὶ ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν
Ἔσσεαι, ἠδὲ βροτοῖς. μάλα γὰρ στυγέουσιν ἀεργούς.
Ἔργον δ' οὐδὲν ὄνειδος· ἀεργίη δέ τ' ὄνειδος,
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
Πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
Δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον.
Εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν

Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
Αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη κρονίωνι
Γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
Δῆμος ἀτασθαλίας βασιλήων, οἳ λυγρὰ νοεῦντες
Ἄλλῃ παρκλίνωσι δίκας σκολιῶς ἐνέποντες.
Ταῦτα φυλασσόμενοι βασιλῆες ἰθύνετε μύθους
Δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.
Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας,
Καί νυ τάδ' αἴκ' ἐθέλῃσ' ἐπιδέρκεται· οὐδέ ἑ λήθει
Οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
Νῦν δ' ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
Εἴην μήτ' ἐμὸς υἱός, ἐπεὶ κακὸν, ἄνδρα δίκαιον
Ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
Ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Ὦ πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσιν.
Καί νυ δίκης ἐπάκουε. βίης δ' ἐπιλήθεο πάμπαν.
Τὸν δὲ γὰρ ἀνθρώποισι νόμον διέταξε κρονίων
Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεινοῖς
Ἔσθειν ἀλλήλους. ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ' αὐτοῖς,
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
Γίνεται. εἰ γάρ τίς κε θέλῃ τὰ δίκαι' ἀγορεύειν
Γινώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς,
Ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
Ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη.
Τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω μέγα νήπιε πέρση.

» Ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς.
» Οὐδέποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,
Οὐδ' ἄτη, θαλίης δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς
Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας.
Εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι.
Τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν.
Θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
Νείσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
Τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς,
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
Ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσι δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
Λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
Οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.
Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
Τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
Ἀθάνατοι λεύσσουσιν ὅσοι σκολιῇσι δίκῃσιν
Ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
» Τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
» Ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων.
» Οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
» Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.
» Ἡ δέ τε παρθένος ἐστὶ Δίκη Διὸς ἐκγεγαυῖα,
» Κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.

Αἰδὼς καὶ νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι, κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς·
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
Ἡψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς,
Ἡδ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι
Μύρετο· τὴν δ' ὅ γ' ἐπικρατέως πρὸς μῦθον ἔειπε,
Δαιμονίη τί λέλακας, ἔχει νύ σε πολλὸν ἀρείων,
Τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ, ἄγω καὶ ἀοιδὸν ἐοῦσαν,
Δεῖπνον δ' αἴκ' ἐθέλω ποιήσομαι ἠὲ μεθήσω.
Ἄφρων δ', ὅς κ' ἐθέλοι πρὸς κρείσσονας ἀντιφερίζειν
Νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ τανυσίπτερος ὄρνις;
Ὦ πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε.
Ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
Ῥηιδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς
Ἐγκύρσας ἄτῃσιν, ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
Κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
Ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
Τῆς δὲ δίκης ῥόθος ἑλκομένης, ᾗ κ' ἄνδρες ἄγωσι
›› Δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας.
›› Ἡ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν
›› Ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα.
›› Οἵ τε μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
›› Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσι
›› Ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
›› Τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ.
›› Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς

Ἐν μακάρων νήσοισι παρ' ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες. τοῖσι μελιηδέα καρπὸν
Τρὶς τοῦ ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ' ἔπειτ' ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν. ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον, οὐδέτι νύκτωρ
Παύσονται καμάτου καὶ ὀιζύος. οὐδέτι νύκτωρ
φθειρόμενοι. χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ.
Οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
Μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἔπεσσι
Σχέτλιοι. οὐδὲ θεῶν ὄπιν εἰδότες. οὐδέ μεν οἵγε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.
Χειροδίκαι, ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
Οὔτ' ἀγαθοῦ. μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασιν
Δυσκέλαδος κακόχαρτος ὁμαρτήσει, στυγερώπης.
Καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
Λευκοῖσιν φάρεσσι καλυψαμένω χρόα καλὸν
Ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους

Τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησ', οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν· δεινόν τε, καὶ ὄμβριμον. οἷσιν ἄρηος
Ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες. οὐδέ τι σῖτον
Ἤσθιον· ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
Ἄπλαστοι. μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τ' οἶκοι.
Χαλκῷ δ' ἐργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ ἀΐδαο,
Νώνυμοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
Εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον
Ἀνδρῶν ἡρώων θεῖον γένος· οἳ καλέονται
Ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
Τοὺς μὲν, ἐφ' ἑπταπύλῳ θήβῃ καδμηίδι γαίῃ
Ὤλεσε μαρναμένους μήλων ἕνεκ' οἰδιπόδαο.
Τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
Εἰς τροίην ἀγαγὼν ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Ἔνθ' ἤτοι μὲν, θανάτου τέλος ἀμφεκάλυψε.
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες

Οἳ μὲν ἐπὶ κρόνου ἦσαν ὅτ᾽ οὐρανῷ ἐμβασίλευεν.
Ὥστε θεοὶ δ᾽ ἔζωον ἀκηδέα θυμὸν ἔχοντες.
Νόσφιν ἄτερ τε πόνων καὶ ὀιζύος, οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ᾽ ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
Θνῆσκον δ᾽ ὡς ὕπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην. καρπὸν δ᾽ ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη, πολλόν τε καὶ ἄφθονον, οἱ δ᾽ ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσιν.
Αὐτὰρ ἐπεὶ κεν τοῦτο γένος κατὰ γαῖα κάλυψε
Τοὶ μὲν δαίμονές εἰσι διὸς μεγάλου διὰ βουλάς,
Ἐσθλοὶ ἐπιχθόνιοι φύλακες θνητῶν ἀνθρώπων.
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα
Ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ᾽ αἶαν
Πλουτοδόται. καὶ τοῦτο γέρας βασιλήιον ἔχον.
Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν ὀλύμπια δώματ᾽ ἔχοντες,
Χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ᾽ ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
Ἐτρέφετ᾽ ἀτάλλων μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ.
Ἀλλ᾽ ὅταν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε᾽ ἔχοντες
Ἀφραδίαις. ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν. οὐδ᾽ ἀθανάτοις θεραπεύειν
Ἤθελον. οὐδ᾽ ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ᾽ ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
Οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,


Δῶρον ἐδώρησαν· πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
Εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν ἀργειφόντην,
Δῶρον ἄγοντα θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
Ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεύς, μήποτε δῶρον
Δέξασθαι παρὰ Ζηνὸς ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
Ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
Νόσφιν ἄτερ κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο,
Νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι γῆρας ἔδωκαν.
Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
Ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
Ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
Ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
Αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
Πλείη μὲν γὰρ γαῖα κακῶν· πλείη δὲ θάλασσα.
Νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, ἡ δ' ἐπὶ νυκτὶ
Αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
Σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.
Οὕτως οὔτι πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.
Εἰ δὲ θέλεις ἕτερόν τι ἐγὼ λόγον ἐκκορυφώσω,
Εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν ὀλύμπια δώματ' ἔχοντες.

Τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς
Χαίρεις πῦρ κλέψας; καὶ ἐμὰς φρένας ἠπεροπεύσας;
Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν, ᾧ κεν ἅπαντες
Τέρπονται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν· ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν,
Καὶ σθένος· ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐΐσκειν
Παρθενικῆς, καλὸν εἶδος, ἐπήρατον· αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι πολυδαίδαλον ἱστὸν ὑφαίνειν.
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην.
Καὶ πόθον ἀργαλέον, καὶ γυιοβόρους μελεδῶνας.
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος.
Ἑρμείην ἤνωγε διάκτορον ἀργειφόντην.
Ὣς ἔφατ'. οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ, καὶ πότνια Πειθὼ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ. ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
Πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
Ἐν δ' ἄρα οἱ στήθεσι διάκτορος ἀργειφόντης
Ψεύδεά θ', αἱμυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος
Τεῦξε Διὸς βουλῇσι βαρυκτύπου, ἐν δ' ἄρα φωνὴν
Θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην. ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες

Εἰς ἄφενον σπεύδοντ᾽. ἀγαθὴ δ᾽ ἔρις ἥδε βροτοῖσι.
Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.
Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ πέρση. σὺ δὲ ταῦτα τεῷ ἐνὶ κάτθεο θυμῷ.
Μή δέ σ᾽ ἔρις κακόχαρτος ἀπ᾽ ἔργου θυμὸν ἐρύκοι
Νείκε᾽ ὀπιπεύοντ᾽ ἀγορῆς ἐπακουὸν ἐόντα.
Ὤρη γάρ τ᾽ ὀλίγη πέλεται νεικέων τ᾽ ἀγορέων τε,
Ὧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
Ὡραῖος. τὸν γαῖα φέρει δημήτερος ἀκτήν.
Τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
Κτήμασ᾽ ἐπ᾽ ἀλλοτρίοις. σοὶ δ᾽ οὐκέτι δεύτερον ἔσται
Ὧδ᾽ ἔρδειν. ἀλλ᾽ αὖθι διακρινώμεθα νεῖκος
Ἰθείησι δίκαις, αἵ τ᾽ ἐκ διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθα. ἄλλα τε πολλὰ
Ἁρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας
Δωροφάγους. οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι.
Νήπιοι. οὐδ᾽ ἴσασιν ὅσω πλέον ἥμισυ παντὸς.
Οὐδ᾽ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ᾽ ὄνειαρ.
Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
Ῥηιδίως γάρ κεν καὶ ἐπ᾽ ἤματι ἐργάσσαιο,
Ὥς τε σέ κ᾽ εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα.
Αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο.
Ἔργα βοῶν δ᾽ ἀπόλοιτο, καὶ ἡμιόνων ταλαεργῶν.
Ἀλλὰ ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν.
Ὅττι μιν ἐξαπάτησε προμηθεὺς ἀγκυλομήτης.
Τοὔνεκ᾽ ἄρ᾽ ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά,
Κρύψε δὲ πῦρ. τὸ μὲν αὖθις ἐὺς πάϊς Ἰαπετοῖο
Ἔκλεψ᾽ ἀνθρώποισι διὸς παρὰ μητιόεντος,
Ἐν κοίλῳ νάρθηκι λαθὼν δία τερπικέραυνον.

ΗΣΙΟΔΟΥ ΤΟΥ ΑΣΚΡΑΙΟΥ ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

Οὖσαι πιερίηθεν ἀοιδῇσι
κλείουσαι
Δεῦτε δὴ, ἐννέπετε σφέτερον πα-
τέρ' ὑμνείουσαι.
Ον τε διὰ βροτοὶ ἄνδρες ὁμῶς
ἄφατοί τε φατοί τε,
Ρητοί τ' ἄρρητοί τε, διὸς μεγάλοιο ἕκητι.
Ρέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
Ρεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
Ρεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει,
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει,
Κλῦθι ἰδὼν ἀίων τε, δίκῃ δ' ἴθυνε θέμιστας
Τύνη· ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην,
Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος· ἀλλ' ἐπὶ γαῖαν
Εἰσὶ δύο· τὴν μέν κεν ἐπαινήσειε νοήσας·
Ηδ' ἐπιμωμητὴ· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
Η μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
Σχετλίη· οὔ τις τήν γε φιλεῖ βροτός· ἀλλ' ὑπ' ἀνάγκης
Αθανάτων βουλῇσιν ἔριν τιμῶσι βαρεῖαν.
Τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο νὺξ ἐρεβεννὴ,
Θῆκε δέ μιν κρονίδης ὑψίζυγος αἰθέρι ναίων
Γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι πολλὸν ἀμείνω.
Ητε καὶ ἀπάλαμόν περ ὅμως ἐπὶ ἔργον ἐγείρει.
Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων,
Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι, ἠδὲ φυτεύειν.
Οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων



HESIODI

OPERA ET DIES, ET THEOGO NIA, ET CLYPEVS.

Theognidis ſententiæ.

Sibyllæ Carmina de Chriſto, quorum mentionem facit Euſebius & Auguſtinus.

Muſæi opuſculum de Herone & Leandro.

Orphei Argonautica, Hymni, & de Lapidibus.

Phocylidis Parænesis.

Concordia paruæ res creſcunt.



Τῇ ὁμονοίᾳ τὰ μικρὰ αὔξονται.



VENETIIS *ex officina Farrea,*

M D X L I I I.

